Ἀθηναίων δὲ τὸ κοινόν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευήν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη· τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει καὶ οἰκίαι αἱ μὲν πολλαὶ ἐπεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον ἦλθον πρεσβείᾳ, τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτ' ἐκείνους μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα, τὸ δὲ πλέον τῶν ξυμμάχων ἐξοτρυνόντων καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρὶν οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην· ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον ὅσοις ξυνειστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους, τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ ποθεν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι, τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀφορμήν.

« ثيكيديدس »

الحب

Ἔρωτες ὑπὲρ μὲν ἄγαν ἐλθόντες οὐκ εὐδοξίαν
οὐδ' ἀρετὴν παρέδωκαν ἀνδράσι· εἰ δ' ἅλις ἔλθοι
Κύπρις, οὐκ ἄλλη θεὸς εὔχαρις οὕτω.

« يوريبيديس »

سقراط أحكم الاثينيين

Καὶ μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε, μηδὲ ἂν δόξω τι ὑμῖν μέγα λέγειν· οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τίς ἐστι σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε που. οὗτος ἐμός τε ἑταῖρος ἦν ἐκ νέου, καὶ ὑμῶν τῷ πλήθει ἑταῖρός τε καὶ ξυνέφυγε τὴν φυγὴν ταύτην καὶ μεθ' ὑμῶν κατῆλθε. καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειεν. καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι· καί, ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες· ἤρετο γὰρ δή, εἴ τις ἐμοῦ εἴη σοφώτερος· ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι.

« إفلاطون »

فيليب عدو مخيف

Εἰ δέ τις ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό τε πλῆθος τῆς ὑπαρχούσης αὐτῷ δυνάμεως καὶ τὸ τὰ χωρία πάντα ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν οἴεται, λογισάσθω μέντοι τοῦθ', ὅτι εἴχομέν ποτε ἡμεῖς ὦ ἄνδρες Ἀθηναῖοι Πύδναν καὶ Ποτίδαιαν καὶ Μεθώνην καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως ἢ κείνῳ. εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστὶν Ἀθηναίοις ἔχουσι τοσαῦτα ἐπιτειχίσματα τῆς αὐτοῦ χώρας ἔρημον ὄντα συμμάχων, οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν ἔπραξεν, οὐδὲ τοσαύτην ἐκτήσατο δύναμιν.

« ديموستينيس »

واجب القائد

Ἐντυχὼν δέ ποτε στρατηγεῖν ᾑρημένῳ τῳ, Τοῦ ἕνεκεν, ἔφη, Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν; ἆρά γε ὅτι ὥσπερ τὸν ποιμένα δεῖ ἐπιμελεῖσθαι ὅπως σῶαί τε ἔσονται αἱ οἶες καὶ τἀπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα τρέφονται, τοῦτο ἔσται, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται; στρατεύονται δέ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν. ἢ τί δήποτε οὕτως ἐπῄνεσε τὸν Ἀγαμέμνονα εἰπών.

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής; δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν τοῖς ἑλομένοις αὐτὸν στρατηγεῖν· καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν οὔτε αἴσχιον τοῦ ἐναντίου.

« كسنوفون »

الحب

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας, ἀλλὰ τῶν θεῶν ἄνω
ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται·
καὶτ όνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται.

« سوفوكليس »

اللذة والألم

Ὁ δὲ Σωκράτης ἀνακαθιζόμενος εἰς τὴν κλίνην συνέκαμψέ τε τὸ σκέλος καὶ ἐξέτριψε τῇ χειρί, καὶ τρίβων ἅμα, Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς

θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν, τὸ ἅμα μὲν αὐτὼ μὴ 'θέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥσπερ ἐκ μιᾶς κορυφῆς ἡμμένω δύ' ὄντε. καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἐδύνατο, συνῆψεν εἰς ταὐτὸν αὐτοῖς τὰς κορυφάς, καὶ διὰ ταῦτα ᾧ ἂν τὸ ἕτερον παραγένηται ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον. ὥσπερ οὖν καὶ αὐτῷ μοι ἔοικεν· ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει τὸ ἀλγεινόν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ.

« إفلاطون »

لمستعمر

Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς οἴομαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕστινας χρημάτων, καὶ τἄλλα ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα δοκεῖ παρασκευασθῆναι, καὶ δὴ πειράσομαι λέγειν, δεηθεὶς ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι τοσοῦτον. ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, μὴ πρότερον προλαμβάνετε· μηδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινὶ καινὴν παρασκευὴν λέγειν, ἀναβάλλειν με τὰ πράγματα ἡγείσθω. οὐ γὰρ οἱ "ταχὺ" καὶ "τήμερον" εἰπόντες μάλιστα εἰς δέον λέγουσιν (οὐ γὰρ ἂν τά γε ἤδη γεγενημένα τῇ νυνὶ βοηθείᾳ κωλῦσαι δυνηθείημεν).

« دیموستنیس »

فونقس

Ἔστι δὲ ἄλλος ὄρνις ἱρός, ᾧ ὄνομά ἐστι φοῖνιξ· ἐγὼ μὲν αὐτὸν οὐκ εἶδον εἰ μὴ ὅσον γραφῇ· καὶ γὰρ δὴ καὶ σπάνιος ἐπιφοιτᾷ

αὐτοῖς, διὰ ἐτέων (ὡς λέγουσι) πεντακοσίων· φοιτᾶν δὲ τότε φασί, ἐπειδὰν αὐτῷ ἀποθάνῃ ὁ πατήρ. ἔστι δέ, εἰ τῇ γραφῇ παρόμοιος, τοσόσδε καὶ τοιόσδε· τὰ μὲν αὐτοῦ χρυσόκομα τῶν πτερῶν, τὰ δὲ ἐρυθρά· ἐς τὰ μάλιστα αἰετῷ περιήγησιν ὁμοιότατος, καὶ τὸ μέγεθος. τοῦτον δὲ λέγουσι μηχανᾶσθαι τάδε, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες· ἐξ Ἀραβίας ὁρμώμενος, ἐς τὸ ἱερὸν τοῦ Ἡλίου κομίζει τὸν πατέρα ἐν σμύρνῃ ἐμπλάττων, καὶ θάπτει ἐν τοῦ Ἡλίου τῷ ἱερῷ· κομίζει δὲ οὕτω· πρῶτον τῆς σμύρνης ᾠὸν πλάττει ὅσον τε δυνατός ἐστι φέρειν· μέτα δὲ πειρᾶται αὐτὸ φορῶν· ἐπειδὰν δὲ ἀποπειραθῇ, οὕτω δὴ κοιλήνας τὸ ᾠὸν τὸν πατέρα ἐς αὐτὸ ἐντίθησι· σμύρνῃ δὲ ἄλλῃ ἐμπλάττει τοῦτο καθ᾽ ὅ τι τοῦ ᾠοῦ ἐνεκοίληνε ἐνθεὶς τὸν πατέρα· ἐσκειμένου δὲ τοῦ πατρός, γίγνεται τὸ αὐτὸ βάρος· ἐμπλάσας δὲ κομίζει αὐτὸν ἐπ᾽ Αἰγύπτου ἐς τοῦ Ἡλίου τὸ ἱερόν.

« هيرودوتس »

ثمستكليس فى اسبرطه

Οἱ δ᾽ Ἀθηναῖοι Θεμιστοκλέους γνώμῃ τοὺς μὲν Λακεδαιμονίους ταῦτ᾽ εἰπόντας, ἀποκρινάμενοι ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δ᾽ ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ᾽ ἐπισχεῖν μέχρι τοσούτου ἕως ἂν τὸ τεῖχος ἱκανὸν ἄρωσιν ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους· τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας, φειδομένους μήτε ἰδίου μήτε δημοσίου οἰκοδομήματος ὅθεν τις ὠφελία ἔσται ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. καὶ ὁ μὲν ταῦτα διδάξας καὶ ὑπειπών, τἆλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι, ᾤχετο. καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχάς, ἀλλὰ

διῆγε καὶ προυφασίζετο, καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων ὅ τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινόν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι, προσδέχεσθαι μέντοι ἐν τάχει ἥξειν καὶ θαυμάζειν ὡς οὔπω πάρεισιν.

« ثيكيديدس »

اقتراح أرستيدس

Μετὰ δὲ ταῦτα θαρρούσης ἤδη τῆς πόλεως καὶ χρημάτων πολλῶν ἠθροισμένων, συνεβούλευεν ὁ Ἀριστείδης ἀντιλαμβάνεσθαι τῆς ἡγεμονίας καὶ καταβάντας ἐκ τῶν ἀγρῶν οἰκεῖν ἐν τῷ ἄστει· τροφὴν γὰρ ἔσεσθαι πᾶσι, τοῖς μὲν στρατευομένοις, τοῖς δὲ φρουροῦσι, τοῖς δὲ τὰ κοινὰ πράττουσι, εἶθ' οὕτω κατασχήσειν τὴν ἡγεμονίαν. πεισθέντες δὲ ταῦτα καὶ λαβόντες τὴν ἀρχὴν τοῖς τε συμμάχοις δεσποτικωτέρως ἐχρῶντο πλὴν Χίων καὶ Λεσβίων καὶ Σαμίων· τούτους δὲ φύλακας εἶχον τῆς ἀρχῆς, ἐῶντες τάς τε πολιτείας παρ' αὐτοῖς καὶ ἄρχειν ὧν ἔτυχον ἄρχοντες.

« أرسطوطاليس »

أنشودة سلاميس

Αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

« صولون »

كيف نستعد؟

Πρῶτον μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι τριήρεις πεντήκοντα παρασκευάσασθαί φημι δεῖν, εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν ὡς, ἐάν τι δέῃ πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσιν· πρὸς δὲ

τούτοις τοῖς ἡμίσεσι τῶν ἱππέων ἱππαγωγοὺς, τριήρεις καὶ πλοῖα ἱκανὰ εὐτρεπίσαι κελεύω, ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν ἐπὶ τὰς ἐξαίφνης ταύτας ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ στρατείας, εἰς Πύλας καὶ Χερρόνησον καὶ Ὄλυνθον καὶ ὅποι βούλεται· δεῖ γὰρ ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ παραστῆναι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν, ὥσπερ εἰς Εὔβοιαν καὶ πρότερόν ποτέ, φασιν, εἰς Ἁλίαρτον καὶ τὰ τελευταῖα πρῴην εἰς Πύλας, ἴσως ἂν ὁρμήσαιτε.

« دَيمُوسْتِنيس »

أندروماخا تبكي مظهرها العاثر

Χώρει νυν· ἡμεῖς δ', οἷσπερ ἐγκείμεσθ' ἀεὶ
θρήνοισι καὶ γόοισι καὶ δακρύμασι,
πρὸς αἰθέρ' ἐκτενοῦμεν· ἐμπέφυκε γὰρ
γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.
πάρεστι δ' οὐχ ἓν ἀλλὰ πολλά μοι στένειν,
πόλιν πατρῴαν τὸν θανόντα θ' Ἕκτορα
στερρόν τε τὸν ἐμὸν δαίμον' ᾧ συνεζύγην
δούλειον ἦμαρ εἰσπεσοῦσ' ἀναξίως.
χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
ὅπως περάσας ἡμέραν ἥξει κάτω.

« يوربيديس »

ضعف الاتهام في محاكمة سقراط

Τί δῆτα, ὦ Μέλητε; τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ τηλικούτου ὄντος τηλικόσδε ὤν, ὥστε σὺ μὲν ἔγνωκας ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ

ἀγαθόν, ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω, ὥστε καὶ τοῦτ' ἀγνοῶ, ὅτι, ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων, κινδυνεύσω κακόν τι λαβεῖν ὑπ' αὐτοῦ, ὥστε τοῦτο τὸ τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς φῄς σύ; ταῦτα ἐγὼ σοι οὐ πείθομαι, ὦ Μέλητε, οἶμαί δὲ οὐδὲ ἄλλον ἀνθρώπων οὐδένα· ἀλλ' ἢ οὐ διαφθείρω, ἢ εἰ διαφθείρω, ἄκων, ὥστε σύ γε κατ' ἀμφότερα ψεύδει.

« أفلاطون »

رسائل باوسنياس في الشرق

Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ μετὰ τὴν ἐκ Κύπρου ἀναχώρησιν (εἶχον δὲ Μῆδοι αὐτὸ καὶ βασιλέως προσήκοντές τινες καὶ ξυγγενεῖς οἳ ἑάλωσαν ἐν αὐτῷ τότε) τούτους οὓς ἔλαβεν ἀποπέμπει βασιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων, τῷ δὲ λόγῳ ἀπέδρασαν αὐτόν. ἔπρασσε δὲ ταῦτα μετὰ Γογγύλου τοῦ Ἐρετριέως, ᾧπερ ἐπέτρεψε τό τε Βυζάντιον καὶ τοὺς αἰχμαλώτους. ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν Γόγγυλον φέροντα αὐτῷ· ἐνεγέγραπτο δὲ τάδε ἐν αὐτῇ, ὡς ὕστερον ἀνευρέθη· "Παυσανίας ὁ ἡγεμὼν τῆς Σπάρτης τούσδε τέ σοι χαρίζεσθαι βουλόμενος ἀποπέμπει δορὶ ἑλών, καὶ γνώμην ποιοῦμαι, εἰ καὶ σοὶ δοκεῖ, θυγατέρα τε τὴν σὴν γῆμαι καί σοι Σπάρτην τε καὶ τὴν ἄλλην Ἑλλάδα ὑποχείριον ποιῆσαι. δυνατὸς δὲ δοκῶ εἶναι ταῦτα πρᾶξαι μετὰ σοῦ βουλευόμενος. εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν δι' οὗ τὸ λοιπὸν τοὺς λόγους ποιησόμεθα."

« ثيسكيديدس »

وداع اياس

Σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν Ἥλιον προσεννέπω,
πανύστατον δὴ κοὔποτ' αὖθις ὕστερον.

ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον
κλειναί τ' Ἀθῆναι καὶ τὸ σύντροφον γένος
κρῆναί τε ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
πεδία προσαυδῶ, χαίρετ', ὦ τροφῆς ἐμοί·
τοῦθ' ὑμὶν Αἴας τοὔπος ὕστατον θροεῖ,
τὰ δ' ἄλλ' ἐν Ἅιδου τοῖς κάτω μυθήσομαι. «سوفوكليس»

ليس العمل عاراً

Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα, καὶ τούτοις μαρτυρίοις χρώμενον, διδάσκειν τοὺς συνόντας κακούργους τε εἶναι καὶ τυραννικούς· τ'Ἡσιόδου μὲν τὸ

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος,

οὕτο δὴ λέγειν αὐτόν, ὡς ὁ ποιητὴς κελεύει μηδενὸς ἔργου μήτ' ἀδίκου μήτ' αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει. Σωκράτης δ' ἐπεὶ διομολογήσαιτο τὸ μὲν ἐργάτην εἶναι ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν βλαβερόν τε καὶ κακόν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθόν, τὸ δ' ἀργεῖν κακόν, τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαί τε ἔφη καὶ ἐργάτας ἀγαθοὺς εἶναι, τοὺς δὲ κυβεύοντας ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντος, ἀργοὺς ἀπεκάλει, ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δὲ τ'ὄνειδος.

«كسنوفون»

نحن في حاجة الى المشورة

Ἀντὶ πολλῶν ἂν ὦ ἄνδρες Ἀθηναῖοι χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβου-

λεύειν· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ' ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν, ὥστ' ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι. «دمِوستِينِس»

دستور التحالف الاثيني

Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ ἑκόντων τῶν ξυμμάχων διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον καὶ ἃς ναῦς· πρόσχημα γὰρ ἦν ἀμύνασθαι ὧν ἔπαθον δῃοῦντας τὴν βασιλέως χώραν. καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχή, οἳ ἐδέχοντο τὸν φόρον· οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα, ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο. «ثيكيديدس»

كلنا في شقاء

οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ
πάντες ὅσους θνητοὺς ἠέλιος καθορᾷ. «صولون»

القوانين تخاطب سقراط

Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι μήτε παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτε ἄλλο μηδὲν πρὸ τοῦ δικαίου, ἵνα εἰς Ἅιδου ἐλθὼν ἔχῃς πάντα ταῦτα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν· οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι οὐδὲ δικαιότερον οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί, οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ' ἡμῶν τῶν νόμων ἀλλὰ ὑπὸ ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς καὶ κακὰ ἐργασάμενος τούτους οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ οἱ ἐν Ἅιδου νόμοι οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι τὸ σὸν μέρος. ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει μᾶλλον ἢ ἡμεῖς. «إفلاطون»

الملحق الثانى

(أ) تصريف فعل الكون

العدد	الشخص	الصيغة الاخبارية: المضارع	الصيغة الاخبارية: الماضى المتصل	الصيغة المصدرية	الصيغة الرجائية		
المفرد	المتكلم	εἰ-μί	ἦ (ἦ-ν)	ὦ	εἴη-ν	—	المصدر
	المخاطب	εἶ	ἦσθα	ᾖς	εἴη-ς	ἴσ-θι	εἶ-ναι
	الغائب	ἐσ-τί (ν)	ἦ-ν	ᾖ	εἴη	ἔσ-τω	اسم الفاعل
المثنى	المخاطب	ἐσ-τόν	ἦσ-τον(ἦ-τον)	ἦτον	εἶ-τον	ἔσ-τον	ὤν (مذكر)
	الغائب	ἐσ-τόν	ἤσ-την(ἤ-την)	ἦτον	εἴ-την	ἔσ-των	οὖσα (مؤنث)
الجمع	المتكلم	ἐσ-μέν	ἦ-μεν	ὦμεν	εἶ-μεν	—	ὄν (جماد)
	المخاطب	ἐσ-τέ	ἦ-τε	ἦτε	εἶ-τε	ἔσ-τε	والأصل للمذكر والجماد (ὄντ-) فقرة (١٥٠)
	الغائب	εἰ-σί (ν)	ἦ-σαν	ὦσι (ν)	εἶε-ν	ἔσ-των (ὄντων)	

المستقبل

العدد	الشخص			
المفرد	المتكلم	ἔσ-ομαι	ἐσ-οίμην	المصدر
	المخاطب	ἔσ-ῃ (ἔσ-ει)	ἔσ-οιο	—
	الغائب	ἔσ-ται	ἔσ-οιτο	ἔσ-εσθαι
المثنى	المخاطب	ἔσ-εσθον	ἔσ-οισθον	اسم الفاعل
	الغائب	ἔσ-εσθον	ἐσ-οίσθην	—
الجمع	المتكلم	ἐσ-όμεθα	ἐσ-οίμεθα	ἐσ-όμενος (مذكر)
	المخاطب	ἔσ-εσθε	ἔσ-οισθε	ἐσ-ομένη (مؤنث)
	الغائب	ἔσ-ονται	ἔσ-οιντο	ἐσ-όμενον (جماد)

(ب) تصريف الفعل λύω

١ — المبـــنى للمعلوم

١ — المضارع والماضى المتصل

العدد	الشخص	الصيغة الاخبارية: المضارع	الصيغة الاخبارية: الماضى المتصل	الصيغة المصدرية	الصيغة الرجائية	الأمر	
المفرد	المتكلم	λύ-ω	ἔ-λυ-ον	λύ ω	λύ-οιμι	—	المصدر
	المخاطب	λύ-εις	ἔ-λυ-ες	λύ-ῃς	λύ-οις	λῦ-ε	λύ-ειν
	الغائب	λύ-ει	ἔ-λυ-ε(ν)	λύ-ῃ	λύ οι	λυ-έτω	اسم الفاعل
المثنى	المخاطب	λύ-ετον	ἐ-λύ-ετον	λύ-ητον	λύ-οιτον	λύ-ετον	λύ-ων (مذكر)
	الغائب	λύ-ετον	ἐ-λυ-έτην	λύ-ητον	λυ-οίτην	λυ-έτων	λύ-ουσα (مؤنث)
الجمع	المتكلم	λύ-ομεν	ἐ-λύ-ομεν	λύ-ωμεν	λύ-οιμεν	—	λῦ-ον (جماد)
	المخاطب	λύ-ετε	ἐ-λύ-ετε	λύ-ητε	λύ-οιτε	λύ-ετε	(المضا: -οντος,-ούσης,-οντος)
	الغائب	λύ-ουσι (ν)	ἔ-λυ-ον	λύ-ωσι(ν)	λύ-οιεν	λυ-όντων	

٢ — المستقبل

العدد	الشخص	الصيغة الاخبارية	الصيغة الرجائية	
المفرد	المتكلم	λύσ-ω	λύσ-οιμι	المصدر
	المخاطب	λύσ-εις	λύσ-οις	λύσ-ειν
	الغائب	λύσ-ει	λύσ-οι	اسم الفاعل
المثنى	المخاطب	λύσ-ετον	λύσ-οιτον	λύσ-ων (مذكر)
	الغائب	λύσ-ετον	λυσ-οίτην	λύσ-ουσα (مؤنث)
الجمع	المتكلم	λύσ-ομεν	λύσ-οιμεν	λῦσ-ον (جماد)
	المخاطب	λύσ-ετε	λύσ-οιτε	(المضا: -οντος,-ούσης,-οντος)
	الغائب	λύσ-ουσι (ν)	λύσ-οιεν	

٣ — الماضى .

المفرد	المتكلم	ἔ·λυσ·α	λύσ·ω	λύσ·αιμι	—	المصدر
	المخاطب	ἔ·λυσ·ας	λύσ·ῃς	λύσ·ειας(-αις)	λῦσ·ον	λῦσ·αι
	الغائب	ἔ·λυσ·ε (ν)	λύσ·ῃ	λύσ·ειε(-αι)	λυσ·άτω	اسم الفاعل
المثنى	المخاطب	ἐ·λύσ·ατον	λύσ·ητον	λύσ·αιτον	λύσ·ατον	λύσ·ας (مذكر)
	الغائب	ἐ·λυσ·άτην	λυσ·ήτον	λυσ·αίτην	λυσ·άτων	λύσ·ασα (مؤنث)
الجمع	المتكلم	ἐ·λύσ·αμεν	λύσ·ωμεν	λύσ·αιμεν	—	λῦσ·αν (جماد)
	المخاطب	ἐ·λύσ·ατε	λύσ·ητε	λύσ·αιτε	λύσ·ατε	(المضا: -αντος,-άσης,-αντος)
	الغائب	ἔ·λυσ·αν	λύσ·ωσι(ν)	λύσ·ειαν-(αιεν)	λυσ·άντων	

٤ — الماضى التام والماضى الأتم

		الماضى التام	الماضى الأتم				
المفرد	المتكلم	λέ-λυκ-α	ἐ-λε-λύκ-η	λε-λύκ-ω	λε-λύκ-οιμι		المصدر
	المخاطب	λέ-λυκ-ας	ἐ-λε-λύκ-ης	λε-λύκ-ῃς	λε-λύκ-οις	λέ-λυκ-ε	λε-λυκ-έναι
	الغائب	λέ-λυκ-ε(ν)	ἐ-λε-λύκ-ει(ν)	λε-λύκ-ῃ	λε-λύκ-οι	λε-λυκ-έτω	إسم الفاعل
المثنى	المخاطب	λε-λύκ-ατον	ἐ-λε-λύκ-ετον	λε-λύκ-ητον	λε-λύκ-οιτον	λε-λύκ-ετον	λε-λυκ-ώς (مذكر)
	الغائب	λε-λύκ-ατον	ἐ-λε-λυκ-έτην	λε-λύκ-ητον	λε-λυκ-οίτην	λε-λυκ-έτων	λε-λυκ-υῖα (مؤنث)
الجمع	المتكلم	λε-λύκ-αμεν	ἐ-λε-λύκ-εμεν	λε-λύκ-ωμεν	λε-λύκ-οιμεν		λε-λυκ-ός (جماد)
	المخاطب	λε-λύκ-ατε	ἐ-λε-λύκ-ετε	λε-λύκ-ητε	λε-λύκ-οιτε	λε-λύκ-ετε	(المضا: -ότος,-υίας,-ότος)
	الغائب	λε-λύκ-ασι(ν)	ἐ-λε-λύκ-εσαν	λε-λύκ-ωσι(ν)	λε-λύκ-οιεν	λε-λυκ-έτων	

٢ - المبنى للمجهـــول والمتوسط

المضارع والماضي المتصل

		الصيغة الاخبارية: المضارع	الصيغة الاخبارية: الماضي المتصل	الصيغة المصدرية	الصيغة الرجائية	الأمر	
المفرد	المتكلم	λύ-ομαι	ἐ-λυ-όμην	λύ-ωμαι	λυ-οίμην	—	المصدر
	المخاطب	λύ-η (-ει)	ἐ-λύ-ου	λύ-η	λύ-οιο	λύ-ου	—
	الغائب	λύ-εται	ἐ-λύ-ετο	λύ-ηται	λύ-οιτο	λυ-έσθω	λύ-εσθαι
المثنى	المخاطب	λύ-εσθον	ἐ-λύ-εσθον	λύ-ησθον	λύ-οισθον	λύ-εσθον	اسم المفعول —
	الغائب	λύ εσθον	ἐ-λυ-έσθην	λύ-ησθον	λυ οίσθην	λυ-έσθων	λυ-όμενος (مذكر)
الجمع	المتكلم	λυ-όμεθα	ἐ-λυ-όμεθα	λυ-ώμεθα	λυ-οίμεθα	—	λυ-ομένη (مؤنث)
	المخاطب	λύ-εσθε	ἐ-λύ εσθε	λύ-ησθε	λύ-οισθε	λύ-εσθε	λυ-όμενον (جماد)
	الغائب	λύ-ονται	ἐ-λύ-οντο	λύ-ωνται	λύ-οιντο	λυ-έσθων	

الماضي التام والماضي الأتم

		الماضي التام	الماضي الأتم	الصيغة المصدرية	الصيغة الرجائية	الأمر	
المفرد	المتكلم	λέ-λυ-μαι	ἐ-λε-λύ-μην	λε-λυ-μένος ὦ	λε-λυ-μένος εἴην	—	المصدر
	المخاطب	λέ-λυ-σαι	ἐ-λέ-λυ-σο	λε λυ-μένος ᾖς	λε-λυ-μένος εἴης	λέ-λυ-σο	—
	الغائب	λέ-λυ-ται	ἐ-λέ-λυ-το	λε-λυ-μένος ᾖ	λε-λυ-μένος εἴη	λε-λύ-σθω	λε-λύ-σθαι
المثنى	المخاطب	λέ-λυ-σθον	ἐ-λέ-λυ-σθον	λε-λυ-μένω ἦτον	λε-λυ-μένω εἶτον	λέ-λυ-σθον	اسم المفعول —
	الغائب	λέ-λυ-σθον	ἐ-λε-λύ-σθην	λε-λυ-μένω ἦτον	λε-λυ-μένω εἴτην	λε-λύ-σθων	λε-λυ-μένος (مذكر)
الجمع	المتكلم	λε-λύ-μεθα	ἐ-λε-λύ μεθα	λε-λυ-μένοι ὦμεν	λε-λυ-μένοι εἶμεν	—	λε-λυ-μένη (مؤنث)
	المخاطب	λέ-λυ-σθε	ἐ-λέ-λυ-σθε	λε-λυ-μένοι ἦτε	λε λυ-μένοι εἶτε	λέ-λυ-σθε	λε λυ μένον (جماد)
	الغائب	λέ-λυ-νται	ἐ-λέ-λυ-ντο	λε-λυ-μένοι ὦσι(ν)	λε-λυ-μένοι εἶεν	λε-λύ-σθων	

الماضي ـ المبني للمجهول

		الصيغة الإخبارية	الصيغة المصدرية	الصيغة الرجائية	الأمر	
المفرد	المتكلم	ἐ-λύθ-ην	λυθ-ῶ	λυθ-είην	—	المصدر
	المخاطب	ἐ-λύθ-ης	λυθ-ῇς	λυθ-είης	λύθ-ητι	—
	الغائب	ἐ-λύθ-η	λυθ-ῇ	λυθ-είη	λυθ-ήτω	λυθ-ῆναι
المثنى	المخاطب	ἐ-λύθ-ητον	λυθ-ῆτον	λυθ-εῖτον	λύθ-ητον	اسم المفعول
	الغائب	ἐ-λυθ ήτην	λυθ-ῆτον	λυθ-είτην	λυθ-ήτων	—
الجمع	المتكلم	ἐ-λύθ-ημεν	λυθ-ῶμεν	λυθ-εῖμεν	—	λυθ-είς (مذكر)
	المخاطب	ἐ-λύθ-ητε	λυθ-ῆτε	λυθ-εῖτε	λύθ-ητε	λυθ-εῖσα (مؤنث)
	الغائب	ἐ-λύθ-ησαν	λυθ-ῶσι(ν)	λυθ-εῖεν	λυθ-έντων	λυθ-έν (جماد)
						(المضاف: -έντος,-είσης,-έντος)

الماضي ـ المبني للمتوسط

		الصيغة الإخبارية	الصيغة المصدرية	الصيغة الرجائية	الأمر	
المفرد	المتكلم	ἐ-λυσ άμην	λύσ-ωμαι	λυσ-αίμην	—	المصدر
	المخاطب	ἐ-λύσ-ω	λύσ-ῃ	λύσ-αιο	λῦσ-αι	—
	الغائب	ἐ-λύσ-ατο	λύσ-ηται	λύσ-αιτο	λυσ-άσθω	λύσ-ασθαι
المثنى	المخاطب	ἐ-λύσ-ασθον	λύσ-ησθον	λύσ-αισθον	λύσ-ασθον	اسم المفعول
	الغائب	ἐ-λυσ-άσθην	λύσ-ησθον	λυσ-αίσθην	λυσ-άσθων	—
الجمع	المتكلم	ἐ-λυσ-άμεθα	λυσ-ώμεθα	λυσ-αίμεθα	—	λυσ-άμενος(مذكر)
	المخاطب	ἐ-λύσ-ασθε	λύσ-ησθε	λύσ-αισθε	λύσ-ασθε	λυσ αμένη(مؤنث)
	الغائب	ἐ-λύσ-αντο	λύσ-ωνται	λύσ-αιντο	λυσ-άσθων	λυσ-άμενον(جماد)

		المستقبل ـ المبنى للمجهول			المستقبل ـ المبنى المتوسط		
		الصيغة الإخبارية	الصيغة الرجائية		الصيغة الإخبارية	الصيغة الرجائية	
المفرد	المتكلم	λυ-θήσ-ομαι	λυ-θησ οίμην	المصدر	λύσ-ομαι	λυσ-οίμην	المصدر
	المخاطب	λυ-θήσ-η(-ει)	λυ-θήσ-οιο	λυ-θήσ-εσθαι	λύσ-η(-ει)	λύσ οιο	λύσ-εσθαι
	الغائب	λυ-θήσ-εται	λυ-θήσ-οιτο	اسم المفعول	λυσ-έται	λύσ-οιτο	اسم المفعول
المثنى	المخاطب	λυ-θήσ-εσθον	λυ-θήσ-οισθον	λυ-θησ-όμενος	λύσ-εσθον	λύσ-οισθον	λυσ-όμενος
	الغائب	λυ θήσ-εσθον	λυ-θησ-οίσθην	λυ-θησ-ομένη	λύσ-εσθον	λυσ-οίσθην	λυσ-ομένη
الجمع	المتكلم	λυ-θησ-όμεθα	λυ-θησ-οίμεθα	λυ-θησ-όμενον	λυσ έμεθα	λυσ-οίμεθα	λυσ-όμενον
	المخاطب	λυ-θήσ-εσθε	λυ-θήσ-οισθε		λύσ-εσθε	λύσ-οισθε	
	الغائب	λυ-θήσ-ονται	λυ-θήσ-οιντο		λύσ-ονται	λύσ-οιντο	

(ج) الأجزاء الرئيسية للأفعال

الماضى المبنى للمجهول	الماضى التام المبنى للمجهول	الماضى التام	الماضى	المستقبل	المضارع
ἤχθην	ἦγμαι	ἦχα	ἤγαγον	ἄξω	ἄγω أقود
ᾔσθην	ᾖσμαι	—	ᾖσα	ᾄσομαι	ᾄδω أغنى
ᾑρέθην	ᾕρημαι	ᾕρηκα	εἷλον	αἱρήσω	αἱρέω آخذ
ἤρθην	ἦρμαι	ἦρκα	ἦρα	ἀρῶ	αἴρω أرفع
—	ᾔσθημαι	—	ᾐσθόμην	αἰσθήσομαι	αἰσθάνομαι ألاحظ
ᾐτιάθην	ᾐτίαμαι	—	ᾐτιασάμην	αἰτιάσομαι	αἰτιάομαι أشكو
ἠκούσθην	ἤκουσμαι	ἀκήκοα	ἤκουσα	ἀκούσομαι	ἀκούω أسمع
—	—	ἑάλωκα	ἑάλων	ἁλώσομαι	ἁλίσκομαι أمسك
ἡμαρτήθην	ἡμάρτημαι	ἡμάρτηκα	ἥμαρτον	ἁμαρτήσομαι	ἁμαρτάνω أخطئ
—	—	—	ἤμυνα	ἀμυνῶ	ἀμύνω أدافع
ἀνηλώθην	ἀνήλωμαι	ἀνήλωκα	ἀνήλωσα	ἀναλώσω	ἀναλίσκω أصرف
ἀνεῴχθην	ἀνέῳγμαι	—	ἀνέῳξα	ἀνοίξω	ἀνοίγνυμι أفتح
ἠνύσθην	ἤνυσμαι	ἤνυκα	ἤνυσα	ἀνύσω	ἀνύω (ἀνύτω) أتمم
—	ἀποκέκριμαι	—	ἀπεκρινάμην	ἀποκρινοῦμαι	ἀποκρίνομαι أجيب
ἤφθην	ἧμμαι	—	ἧψα	ἅψω	ἅπτω أثبت ، أشعل
—	ἧμμαι	—	ἡψάμην	ἅψομαι	ἅπτομαι ألمس
—	—	—	ἤρεσα	ἀρέσω	ἀρέσκω أستحسن
ἤρχθην	ἦργμαι	—	ἦρξα	ἄρξω	ἄρχω أحكم
ηὐξήθην	ηὔξημαι	ηὔξηκα	ηὔξησα	αὐξήσω	αὐξάνω أزيد
—	ἀφῖγμαι	—	ἀφικόμην	ἀφίξομαι	ἀφικνέομαι أصل
—	—	—	ἐβάδισα	βαδιοῦμαι	βαδίζω أخطر
—	—	βέβηκα	ἔβην	βήσομαι	βαίνω أذهب

المضارع		المستقبل	الماضى	الماضى التام	الماضى التام المبنى للمجهول	الماضى المبنى للمجهول
أرمى	βάλλω	βαλῶ	ἔβαλον	βέβληκα	βέβλημαι	ἐβλήθην
أرغب	βούλομαι	βουλήσομαι	—	—	βεβούλημαι	ἐβουλήθην
أتزوج	γαμέω	γαμῶ	ἔγημα	γεγάμηκα	γεγάμημαι	—
أصير	γίγνομαι	γενήσομαι	ἐγενόμην	γέγονα	γεγένημαι	—
أعلم	γιγνώσκω	γνώσομαι	ἔγνων	ἔγνωκα	ἔγνωσμαι	ἐγνώσθην
أحتاج	δέομαι	δεήσομαι	—	—	δεδέημαι	ἐδεήθην
أفتقر إلى	δέω	δεήσω	ἐδέησα	δεδέηκα	—	—
أربط	δέω	δήσω	ἔδησα	δέδεκα	δέδεμαι	ἐδέθην
أهدم	διαφθείρω	διαφθερῶ	διέφθειρα	διέφθαρκα	διέφθαρμαι	διεφθάρην
أعلّم	διδάσκω	διδάξω	ἐδίδαξα	δεδίδαχα	δεδίδαγμαι	ἐδιδάχθην
أقدر	δύναμαι	δυνήσομαι	—	—	δεδύνημαι	ἐδυνήθην
أسمح	ἐάω	ἐάσω	εἴασα	εἴακα	εἴαμαι	εἰάθην
أرغب	ἐθέλω	ἐθελήσω	ἠθέλησα	ἠθέληκα	—	—
أسوق	ἐλαύνω	ἐλῶ	ἤλασα	ἐλήλακα.	ἐλήλαμαι	ἠλάθην
أوعز إلى	ἐμπίπλημι	-πλήσω	ἐνέπλησα	—	—	ἐνεπλήσθην
أمدح	ἐπαινέω	ἐπαινέσομαι	ἐπῄνεσα	ἐπῄνεκα	—	ἐπῃνέθην
أنسى	ἐπιλανθάνομαι	ἐπιλήσομαι	ἐπελαθόμην	—	ἐπιλέλησμαι	—
أتبع	ἕπομαι	ἕψομαι	ἑσπόμην	—	—	—
أعمل	ἐργάζομαι	ἐργάσομαι	εἰργασάμην	—	εἴργασμαι	εἰργάσθην
أذهب	ἔρχομαι	εἶμι	ἦλθον	ἐλήλυθα	—	—
أسأل	ἐρωτάω	ἐρωτήσω	—	ἠρώτηκα	ἠρώτημαι	ἠρωτήθην
آكل	ἐσθίω	ἔδομαι	ἔφαγον	ἐδήδοκα	ἐδήδεσμαι	—
أجد	εὑρίσκω	εὑρήσω	ηὗρον	ηὕρηκα	ηὕρημαι	ηὑρέθην
أصلى	εὔχομαι	εὔξομαι	ηὐξάμην	—	ηὖγμαι	—

الماضى المبنى للمجهول	الماضى التام المبنى للمجهول	الماضى التام	الماضى	المستقبل	المضارع	
—	ἔσχημαι	ἔσχηκα	ἔσχον	ἕξω (σχήσω)	ἔχω	أملك
—	—	βεβίωκα	ἐβίων	βιώσομαι	ζάω	أعيش
ἥσθην	—	—	—	ἡσθήσομαι	ἥδομαι	أفرح
ἐτάφην	τέθαμμαι	—	ἔθαψα	θάψω	θάπτω	أدفن
ἐθαυμάσθην	τεθαύμασμαι	τεθαύμακα	ἐθαύμασα	θαυμάσομαι	θαυμάζω	أتعجب
—	—	τέθνηκα	-ἔθανον	θανοῦμαι	-θνήσκω	أموت
—	—	—	—	καθευδήσω	καθεύδω	أنام
—	κεκοίλασμαι	—	ἐκοίληνα	κοιλανῶ	κοιλαίνω	أفرغ
ἐλήφθην	εἴλημμαι	εἴληφα	ἔλαβον	λήψομαι	λαμβάνω	آخذ
ἐλείφθην	λέλειμμαι	λέλοιπα	ἔλιπον	λείψω	λείπω	أترك
—	—	μεμάθηκα	ἔμαθον	μαθήσομαι	μανθάνω	أتعلم
—	μεμάχημαι	—	ἐμαχεσάμην	μαχοῦμαι	μάχομαι	أحارب
—	—	—	ἐμέλλησα	μελλήσω	μέλλω	أصمم على
—	—	νένευκα	ἔνευσα	νεύσομαι	νέω	أعوم
ᾠήθην	—	—	—	οἰήσομαι	οἴομαι	أظن
—	—	ᾤχωκα	—	οἰχήσομαι	οἴχομαι	أذهب
—	—	-ολώλεκα	-ώλεσα	-ολῶ	(ἀπ)-όλλυμι	أهلك
ὠξύνθην	ὤξυμμαι	ὤξυγκα	ὤξυνα	ὀξυνῶ	ὀξύνω	أشحذ
ὤφθην	ἑόραμαι (ὦμμαι)	ἑόρακα	εἶδον	ὄψομαι	ὁράω	أرى
ὠργίσθην	ὤργισμαι	—	—	ὀργιοῦμαι	ὀργίζομαι	أغضب
—	παρέσχημαι	παρέσχηκα	παρέσχον	παρέξω	παρέχω	أزود
—	—	πέπονθα	ἔπαθον	πείσομαι	πάσχω	أقاسى
ἐπείσθην	πέπεισμαι	πέπεικα	ἔπεισα	πείσω	πείθω	أقنع
—	—	πέπτωκα	ἔπεσον	πεσοῦμαι	πίπτω	أقع

الماضي المبني للمجهول	الماضي التام المبني للمجهول	الماضي التام	الماضي	المستقبل	المضارع	
—	πέπυσμαι	—	ἐπυθόμην	πεύσομαι	πυνθάνομαι	أعلم
ἐρρίφθην	ἔρριμμαι	ἔρριφα	ἔρριψα	ῥίψω	ῥίπτω	أقذف
ἐσιωπήθην	σεσιώπημαι	σεσιώπηκα	ἐσιώπησα	σιωπήσομαι	σιωπάω	أصمت
—	ἔσκεμμαι	—	ἐσκεψάμην	σκέψομαι	σκοπέω	ألاحظ
—	ἔσπεισμαι	—	ἔσπεισα	σπείσω	σπένδω	أسكب
ἐτμήθην	τέτμημαι	τέτμηκα	ἔτεμον	τεμῶ	τέμνω	أقطع
—	—	τέτοκα	ἔτεκον	τέξομαι	τίκτω	ألد
ἐτρώθην	τέτρωμαι	—	ἔτρωσα	τρώσω	τιτρώσκω	أجرح
—	—	τετύχηκα	ἔτυχον	τεύξομαι	τυγχάνω	أصادف
ἐφάνθην	πέφασμαι	πέφαγκα	ἔφηνα	φανῶ	φαίνω	أعلن
ἠνέχθην	ἐνήνεγμαι	ἐνήνοχα	ἤνεγκον	οἴσω	φέρω	أحمل
ἐώσθην	ἔωσμαι	ἔωκα	ἔωσα	ὤσω	ὠθέω	أدفع



الملحق الثالث

قاموس

يونانى - عربى

« يرمز العدد الى رقم الصفحة التى وردت بها الكلمة »

A

ἀγαθός, ή, όν, ٣٨ طيب، حسن، خيّر

ἄγαλμα, -ατος, τό, ٢٥٦ تمثال

ἄγαν, ٢٨٩ متطرف، كثير جداً، زائد على الحد

ἀγαπητός, ή, όν, ٤٢ محبوب

ἀγγέλλω, ٧٧ أعلن، أذيع، أخبر، أنبىء

ἄγγελος, ὁ, ٤١ رسول

ἄγε, ٢١٩ تعال «أمر يستعمل كظرف»

ἁγιάζω, ٢٢٣ أقدّس

ἄγκυρα, ἡ, ٤ مرساة

ἀγνοέω (-ῶ), ٢٧٤ أجهل

ἀγνώμων, ον, ١٧٧ فاقد الشعور

ἀγορά, ἡ, ١٥ سوق

ἀγοράζω, ١٥٧ أبيع، اشترى

ἀγορεύω, ٢٦٩ ألقى خطاباً عاماً

ἀγρός, ὁ, ٢٨ حقل

ἄγω, ٢٣ أقود، أهدى

ἄγων, ٢٠٩ واو المعية «مع اسم الفاعل»

ἀγών, -ῶνος, ὁ, ١٢٢ مباراة، سباق

ἀδελφή, ἡ, ١٨ أخت

ἀδελφός, ὁ, ٤١ أخ، شقيق

ἀδικέω, ٣٤ أضر، أسىء الى

ἀδικία, ἡ, ٨٦ ظلم، جور

ἄδικος, ον, ٣٨ ظالم، جائر، مخطىء

ἀδύνατος, ον, ١٥٩ غير قادر، ضعيف
ἀεί, ٦٩ (ظرف) دائماً
ἀεργία, (ἀεργίη) ἡ, ٢٩٧ بطالة
ἀήρ, -έρος, ὁ (ἡ), ١٢٢ الهواء السفلى
ἀθάνατος, ον, ٦٩ خالد، غير فان
Ἀθήναζε, ١٥٦ نحو أثينا
Ἀθῆναι, αἱ, ٤٣ (مدينة) أثينا
Ἀθηναῖοι, οἱ, ٤٧ الأثينيون
Ἀθηναῖος, α, ον, أثيني
Ἀθήνηθεν, ١٥٦ من أثينا
ἀθλητής, ὁ, ٦٥ بطل، رياضي
ἀθροίζω, ٢٩٤ أجمع، أجبي، احصل
ἀθυμία, ἡ, ٩٤ فقدان الأمل، يأس
ἀθύμως ἔχει, ١٩٣ يكون يائساً
αἰδώς, -όος, ἡ, ١٢٥ وقار، إحترام
αἰετός (ἀετός), ὁ, ٢٩٣ عُقاب، نسر
αἰθήρ, έρος, ὁ (ἡ), ١٢٢ الهواء العلوى، الأثير، السماء
αἰθρία, ἡ, ١٩٧ هواء طلق
αἴνιγμα, -ατος τό, ٢٦٦ لغز، أحجية
αἱρέω, ٩٦ آخذ
αἱρέομαι, ٩٦ أفضل، أختار

αἴρω, ٣٣ أرفع، أُعلّي
αἰσθάνομαι, ٢٧٢ ألاحظ، أشعر، أرى
αἰσχρός, ά, όν, ٤٢ مخجل، مخزى
τὰ αἰσχρά ٤٠ الرزائل، المخازى
αἰσχύνομαι, ٢١٢ أخجل
αἰτέω, ١٢٧ (يتعدى لمفعولين) أطلب، أسأل
αἰτία, ἡ, ٢٥ سبب، علة
αἰτιάομαι, ١٠٦ أشكو، أتهمُ، أدعى علىّ
αἴτιος, α, ον, ١٢٧ (مع المضا.) مذنب
αἰχμάλωτος, ὁ, ٢١٤ أسير
αἰχμητής, ὁ, محارب، مقاتل
αἰών, -ῶνος, ὁ ٢٢٣ عصر
ἀκολουθέω, ١١٨ (مع القا.) أتبع
ἀκούω, ٧٧ أسمع
ἀκρατής, ές, ١٨١ ضعيف، متطرف، مفرط
ἄκρος, α, ον, ٤٠ أعلا
ἄκων, -ουσα, -ον غير راغب، غير متعمد
ἀλγεινόν, τό, ٢٩٢ ألم
ἀλγεινός, ή, όν, ١٩٠ محزن، مؤلم
ἀλήθεια, ἡ, ١٧٨ الحق
ἀληθής, -ές, ١٧٨ حقيقي
ἅλις; ٢٨٩ (ظرف) بمقدار كاف

ἁλίσκομαι, ٢٥٨ أمسك ، أوخذ

ἀλλά, ١٢ لكن

ἀλλήλους, ٦٧ البعض الآخر ، بعضهم بعضا

ἄλλοθεν, (ظرف) ١٥٦ من أى مكان آخر

ἄλλοθι, (ظرف) ١٠٢ فى أى مكان آخر

ἄλλος, η, ον, ٥٣ آخر

ἄλλοι... ἄλλοι ٧٧ البعض... البعض الآخر

ἄλλοσε, (ظرف) ١٥٦ إلى مكان آخر

ἅλς, -ός, ὁ, ١٠٨ ملح

ἅλωσις, -εως, ἡ, ١٢٩ سلب ، أسر

ἅμα, ٢١٠ فى نفس الوقت ٥٥ (ظرف) بينما

ἀμαθία, ἡ, ٢٩٦ جهل

ἁμαρτάνω, ٢٨٣ أخطىء

ἀμέλεια, ἡ, ٢٩٥ إهمال

ἀμελέω, ٢٦٨ أهمل ، اقصّر فى

ἀμήν, (ظرف) ٢٢٣ آمين ، حقاً

ἅμιλλα, ἡ, ١٦ نزاع ، مباراة

ἄμπελος, ἡ, ٨٦ كرمة

ἀμύνω, ٩٦ أحصن ، أحمى

ἀμύνομαι, ٩٦ أقاوم ، أدافع ، أرد

ἀμφί, ٢٥٨ حول (مع المفع، أو المضا، أو القا.)

ἀμφότερος, α, ον, ٢٩٦ كل من ، كلا الاثنين

κατ' ἀμφότερα, ٢٩٦ فى كلتا الحالتين

ἄμφω, ١٦٣ كلا

ἄν, (ظرف) ٢٦٠ الاحتمالية ٢٢٧، الزمنية ٢٣٩، الشرطية

ἀνά, ٢٩٥ خلال (مع المفع)

ἀναβαίνω, ٢٨٠ ارتقى ، اصعد

ἀναβάλλω, ٢٩٢ أؤجل ، أرجىء

ἀνάβασις, -εως, ἡ, ١٢٣ رفعة ، سمو

ἀναγιγνώσκω, ٢٢٠ أقرأ

ἀναγκάζω, ٩١ أرغم ، أكره

ἀναγκαῖος, α, ον, ٢٩٣ ضرورى ، لازم

ἀνάγω, ٢٠٨ أقود إلى

ἀνάγομαι, ٢٠٨ أبحر ، اقلع

ἀναγωγή, ἡ, ٢٠٨ إقلاع

ἀν-αιρέω, ٢٩٠ أجيب (هاتف إلهى)

ἀνα-καθίζομαι, ٢٩٢ أبقى ساهراً ، انتصب

ἀναλίσκω, ٢٦٨ أصرف

ἀνα-μένω, ٢١٦ أنتظر

ἄναξ, -κτος, ὁ, ١١٢ حاكم ، سيد

ἀν-άξιος, α, ον, ٧٧ غير جدير

ἀν-αξίως, (ظرف) ٢٩٥ بغير استحقاق

ἀνα-στρέφω, ٢٥٨ أرتد ، أرجع

ἀνα-τίθημι, ٢٤٧ أقيم ، أؤسس ، اوقف

ἀνα-φέρω, ٢٩٠ استشهد به ، أشير إلى
ἀνα-χωρέω, ١٧٦ أرتد ، أتقهقر
ἀναχώρησις, -εως, ἡ, ١٣٣ تقهقر
ἀνδρεία, ἡ, ٢٠٥ شجاعة
ἀνδρεῖος, α, ον, ٣٨ شجاع
ἀνδρεῖοι, οἱ, ٤٠ الأبطال
ἀνδριάς -αντος, ὁ, ١١٢ تمثال
ἀν-ελεύθερος, ον, ١٨١ عبد ، مقيد
ἀν-έλπιστος, ον, ١٥١ يائس، فاقد الأمل
ἄνεμος, ὁ, ٢٧ ريح
ἄνευ, ٤٢ بدون (مع المضا.)
ἀν-ευρίσκω, ٢١٤ أكتشف ، أعثر على
ἀνήρ, ἀνδρός, ὁ, ١٤٥ رجل
ἄνθος, -ους, τὸ ١٢٤ زهره
ἀνθρωπίσκος, ١٩٤ قزم
ἄνθρωπος, ὁ, ٢٨ رجل ، إنسان
ἀν-ίημι, ٢٥٦ أترك ، أحل (مع المفع.) أكف عن (مع المضا.)
ἀν-ίστημι, ٢٥٢ أرفع ، اقيم
ἀν-οίγνυμι, ٢٦٦ أفتح
ἀν-οικοδομέω, ٢٨٩ أشيد ، أبني
ἄ-νομος, ον, ٣٨ مخالف للقانون، عاص
ἀνόμως, ٤٠ (ظرف) بتمرد ، بعصيان

ἀντ-αδικέω, ٢٩٩ أرد الشر بالشر
ἀντι-κακουργέω, ٢٩٩ أرد الاساءة بمثلها
ἀντι-λαμβάνομαι, ٢٩٤ أشارك ، استولى على ، أتفق مع (مع المضا.)
ἀντι-λέγω, ٢٦٤ أخالف ، أناقض
ἄντρον, τὸ, ٢٩٠ مغارة ، كهف
ἀνύω, (ἀνύτω, بالأتيكية) ٢٦٤ أتم، أنجز
ἄνω, (ظرف) ١٢٩ فوق
ἀξία, ἡ, ١٧٣ ثمن ، قيمة
ἄξιος, α, ον, ٤٢، ١٧٢ مستحق، ثمين، أهل لـ، جدير بـ (مع المضا.)
ἀξιόχρεως, εων, ٢٩٠ أهل للتصديق
ἀξιόω, ١٣٢ أقدر، أظن، أبتغي (مع المضا.)
ἀπαγγέλω, ٢٨٠ أقرّ ، أبلغ
ἀπαιτέω, ١١٨ آمر
ἀπαλλάττω, ٢٤٢ أعتق ، أحرر ، أطرد أعزل ، أتخلص من
ἅπαξ, (ظرف) ١٦٠ مرّة
ἅ-πας, -ασα, -αν ١٨٧ كل ، جميع
ἄπειμι, ٣٢ أكون غائباً أو بعيداً
ἄπειμι, ٢٦٨ أنطلق ، أرحل
ἀπείργω, ٢٩١ أدفع ، أتفادى
ἄπειρος, ον, ٩٤ عديم الخبرة ، جاهل
ἀπέρχομαι, ٢٧٨ أنصرف عن، أنطلق ٢٤٠، أبتعد
ἀπεχθῶς ἔχω, ٨٣ أعادي، أكره

ἀπέχω, ٤٧ أكون بعيداً عن (مع المضا.)
ἀπέχομαι, ٢٩٧ أمنع نفسى عن : امتنع عن (مع المضا.)
ἄπιστος, ον, ٤٧ خائن
ἁπλοῦς, ῆ, οῦν, ١٧٣ بسيط
ἀπό, ٢٦ من (مع المضا.)
ἀποβάλλω, ١٥١ أفقد ، أضيع
ἀποβάπτω, ١٦٥ أغطس
ἀποδέχομαι, ٢٨٨ أستمع ، أعترف
ἀποδημέω. ٢٠٥ أذهب (خارج القطر) أرحل
ἀποδιδράσκω, ٢٧٦ أهرب
ἀποδίδωμι, ٢٣٧-٢٥٩ أعيد ، أرد
ἀπόδοσις, ٢٥٩ (عبارة جواب الشرط)
ἀποθνήσκω, ١٥٤ أموت
ἀποικία, ἡ, ٨٦ مستعمرة
ἀπο-καλέω ٢٩٧ أدعو
ἀποκρίνομαι, ٢٨٠ أجيب ، أرد على
ἀποκτείνω, ١٥٤ أقتل
ἀπόλλυμαι, ٢٦٦ أموت ، أفنى ، أهلك
ἀπόλλυμι, ٢٦٦ أهلك. أهدم ، أقتل
ἀπο-λογέομαι, ٢١٤ أدافع ؛ أتكلم دفاعا عن
ἀπομάχομαι, ٢٩٣ أقاتل ، أحارب
ἀποπειράομαι, ٢٩٢ أفحص ، أحلل
ἀπο-πέμπω, ٦٢ أطرد ، أبعد ، أسير ؛ أطلق
ἀπορέω, ١١٨ أحتار . أكون فى حيرة
ἀπορία, ἡ, ١٤٩ ألم ، حزن ، حاجه ، مشكلة
ἀποστέλλω, ٢٩٣ أرسل
ἀποστερέω, ١٧٢ أجرد (يتعدى لمفعولين)
ἀπο-τρέπω, أتجنب
ἀπο-φεύγω, ٢١٤ أهرب
ἀποχωρέω, ٢٨٢ أرتد ، أتراجع
ἅπτομαι, ١٤٠ ألمس
ἅπτω, ٢٩٢ أتعلق ، أؤثر فى ، أثبت
ἆρα; ἆρα μή, ἆρ' οὐ ٨٧ ؛ ٨٦ أدوات استفهام
Ἄραψ, -αβος, ὁ, ἡ, ١١٠ إعرابى
ἀργέω, ٢٩٧ أتكاسل
ἀργός, όν, ٢٩٧ عاطل ، كسلان
ἄργυρος, ὁ, ٩٩ فضة
ἀργυροῦς, -ᾶ, -οῦν, ١٧٠ فضى
ἀρέσκω, ٢٩٦ أروق ل ، أستحسن
ἀρετή, ἡ, ١٨ الفضيلة
ἀριθμός, ὁ, ١٦٥ رقم ، عدد
ἄριστον, τό, ٢٨٧ فطور
ἅρμα, -ατος, τό, ١١٣ عربة
ἄρτος, ὁ, ٢٢٣ خبز

ἀρχή, ἡ, ١٨ بدء ، حكم

ἄρχομαι, ٢١١ أبدأ (مع المضا.)

ἄρχω, ٩١ أحكم (مع المضا.)

ἀσθενής, ές, ١٧٨ ضعيف

ἀσπίς, -ίδος, ἡ, ١١٣ ترس ، درع

ἀστήρ, έρος, ὁ, ١٢٦ نجم

ἄστυ, -εως, τό, ١٣٤ بلدة

ἀσφαλής, ές, سالم ، أمين

ἀσχολία, ἡ, ٢٩٤ عمل ، مصلحة

ἄ-τακτος, ον, ٢٨٦ غير منظم

ἀ-τείχιστος, ον, ١٨٦ غير محصن

ἀ-τεχνῶς, (ظرف) ٢٤٢ بدقة ، تماماً

ἄτοπος, ον, ٢٩٢ غريب

αὖ, ٢٤٢ (ظرف) أيضاً ، علاوة على ذلك

αὖθις, (ظرف) ١٥٢ أيضا ، ثانياً

αὐξάνω, ٢٣ أزيد ، أنمي

αὔριον, (ظرف) ٦٣ غداً ، باكر

αὐτίκα, (ظرف) ٦٩ في الحال في التو ، حالا

αὐτονομέομαι, ٢٩٠ أستقل ، أكون مستقلا

αὐτόνομος, ον, ٢١٦ مستقل

αὐτός, ἡ, ὁ, ٧٥ عين ، نفس ، ذات

ἀφαιροῦμαι, (بمعنى المفعولين) ٢٠٥ أجرد ، أحرم

ἀφανίζω, ١٥٧ أتلاشى ، أنقرض

ἀφθονία, ἡ, ٤٧ وفرة ، كثرة

ἀφίημι, ٢٥٦ : ٢١٣ (مع القا.) أغفر ، أطلق سراح

ἀφικνέομαι, ١٧١ أصلُ

ἀφίστημι, ٢٥٢ أفرق ، أحض على التمرد

ἀφορμή, ἡ, ٢٨٩ هجوم

ἀφ'οὗ ٢٣٨ منذ ، منذ ذلك العهد

ἄφρων, ον, ١٧٧ فاقد الشعور ، عديم الحس

ἄχθομαι, (مع القا) ٢١١ أحزن ، آسف

ἄχρι, ٢٣٨ حتى

B

βαδίζω, ٧١ أذهب ، أمشي

βάθρον, τό, درجة السلم ٢٨٠ مدخل البيت ، أساس ٢٩٧

βαίνω, ٢٧٥ أذهب ، آتي

βάλλω, ١٥٣ أقذف ، أرمي

βάρβαρος, ον, ٣٩ أجنبي ، غريب

βάρος, ους, τό, ٢٩٣ ثقل ، وزن

βαρύς, εῖα, ύ, ١٨٦ ثقيل ، عميق

βασανίζω, ١٦٧ أعذّب

βασίλεια, ἡ, ١٥ ملكة

βασιλεία, ἡ, مُلْك

βασιλεύς, ὁ ١٣٤ مَلِك

βασιλεύω, ٦٥ أحكم ، أملك

βία, ἡ, ١٨ القوة

βίβλος, ἡ, ٢٩ كتاب

βλαβερός, ά, όν, ٢٩٧ مؤلم، ضار، مؤذ

βλάβη, ἡ, ٢٨٨ ضرر ، تلف

βλάπτω, ١٤٠ أضر ، أجرح

βοή, ἡ, ١٧ صياح ، صراخ

βοήθεια, ἡ, ١٥١ مساعدة

βοηθέω, ١١٨ (مع القا) أساعد، أذهب لمساعدة

Βοιωτός, ὁ, بؤشى

βουλεύομαι, ٢٩٦ أتدبر

βούλομαι, ٩٩ (مع المصدر) أريد ، أود

βοῦς, ὁ (ἡ), ١٤٦ ثور

βραδύς, εῖα, ύ, ١٨٦ بطيء

βραχύς, εῖα, ύ, ١٨٦ قصير ، موجز

βρέχω, ٢٢٩ أبتل

βροτός, ὁ, ٢٩٥ انسان ، بشر ، فان

Γ

γάλα, -ακτος, τό, ١٤٩ لبن

γαμέω, ٢٩٦ أقترن، أتزوج من (مع المفع.) أذا كان الزواج من أمرأة

γαμοῦμαι, أتزوج من (مع القا.) إذا كان الزواج من رجل

γάρ, ١٢ لأن ، إذ أن

γαστήρ, -τρός, ἡ, ١٢٦ أمعاء ، أحشاء

γελάω, ١٠٧ أضحك

γενναῖος, α, ον, ١٦٥ نبيل ، رفيع

γένος, -ους, τό, ١٢٤ جنس ، نوع

γεραιός, ά, όν, ٥٢ عجوز ، مسن

γέρας, -ως, τό, ١٢٥ مكافأة

γέρων, -οντος, ὁ, ١٨١ عجوز

γεύομαι, ٢٦٦ أذوق (مع المضا.)

γέφυρα, ἡ, ١٥ جسر ، قنطرة

γεωργός, ὁ, ١٢٦ فلّاح ، مزارع

γῆ, ἡ, ١٨ أرض ، برّ

γῆρας, τό, ١٢٥ الشيخوخة

γίγας, -αντος, ὁ, ١١٢ عملاق ، مارد

γίγνομαι, ١٧١ أصير

γιγνώσκω, ٢٧٥ أعرف ٧١ أعلم، ألاحظ

γλυκύς, εῖα, ύ, ١٨٥ حلو ، عذب

γλῶττα, ἡ, ١٦ لسان

γνώμη, ἡ, ٢٨٩ رأي، قرار، نصح، مشورة، خاط

γονεύς, έως, ὁ, ١٢٤ أب

γονῆς, οἱ, ١٣٤ الآباء

γόνυ, τό, ١٤٦ ركبة

γόος, ὁ, ٢٩٥ عويل ، بكاء ، أنين

γράμματα, τὰ, ١٧٣ رسائل

γραμματεῖον, τό, ٢٤٢ مثال ، نسخه

γραμματιστής, ὁ, ٢٤٢ معلم

γραμμή, ἡ, ٢٤٢ سطر

γραῦς, -αος, ἡ, ١٤٦ امرأة ، عجوز

γραφή, ἡ, ٢٩٣ صورة، خطاب، وصف

γραφίς, -ίδος, ἡ, ٢٤٢ أسلوب ، نسق

γράφω, ١٨ أكتب

γυνή, ἡ, ١٤٥ امرأة ، زوجة

γύψ, -πος, ὁ, ١١٠ نسر

Δ

δαιμόνιος, α, ον, ٢٦٨ محبوب ، عزيز

δαίμων, -ονος, ὁ, ١٢١ إله ، حظ

δάκρυμα, -ατος, τό, ٢٩٥ دمع ، مبعث الشجن

δακρύω, ٢٥ أبكي

δέδοικα, ٢٣٨ أخشى ، أخاف

δεῖ, (oporlet) ٦٨ ينبغي

δείκνυμι, ٢٦٢ أظهر ، أوضح

δεινόν, τό, ٢٠٥ خطر

δεινός, ή, όν, ٣٨ مخيف ، ماهر

δεῖπνον, τό, ٩١ غذاء

δέκα, ١٦١ عشرة

δέομαι, أسأل ٩١ (مع المفع. والمصدر) أحتاج (مع المضا.)

δεσμός, ὁ, ٢٤٠ قيد ، وثاق

δεσμωτήριον, τὸ, ٦٣ سجن

δεσμώτης, ὁ, ٦٢ سجين

δέσποινα, ἡ, ٤٤ سيدة ، معلمة

δεσπότης, ὁ, ٢١ سيد ، حاكم

δεσποτικός, ή, όν, ٢٩٤ ظالم، مستبد

δεῦρο, (ظرف) ٢٠٥ هنا

δεύτερος, α, ον, ١٦٠ ثاني

δέχομαι, ٩٩ أحصل ، استقبل

δέω, ١١٨ اربط ، أحزم

δέω, ١١٩ أريد ، أفتقر إلى

δῆλος, η, ον, جلي ، ظاهر ، واضح

δηλόω, ١٣٠ أوضح، أظهر، أبين

δημοκρατία, ἡ, ١٥١ ديمقراطية

δῆμος, ὁ, ٢٨ الشعب ، العامة

δημόσιος, α, ον, ٢٩٣ عام .

δῃόω, ٢٦٦ أنهب ، أخرب ، أسلب

δῆτα, ٤٩ حقاً ، نعم

διά, بسبب . من أجل . لداعي ٦٠،١٨ (مع المفع.) بواسطة . خلال . عبر ٦٠،٣٥ (مع المضا.)

διαβαίνω, ٩٩ أعبر

διαβολή, ἡ, ٢٨٨ وشاية ، فرية

διαγιγνώσκω, ٢٨٠ أميز
διάγω, ٢٩٤ أعطل ، أضيع
δίαιτα, ἡ, ١٩٤ حياة
διακομίζω, ٢٨٩ أنقل ، أحمل
διακωλύω, ٢١٦ أمنع ، أعوق
διαλέγομαι, ٢١٤ أتحدث (مع)
διαλλάσσω, ٢٩٢ أوفق بين
διαλύομαι, ٢٨٨ أعزل ، أطرد
διαπίπτω, ٢٨٢ أندفع
διασημαίνω, ٢٨٠ أفسر
διὰ ταῦτα, ٧٧ بناء على ذلك
διατελέω, ١١٩ ، ٢١١ أستمر
διατίθημι, ٤٢٧ أدبر ، أرتب
διατρίβω, ١٩٧ أقضي
διαφθείρω, ١٥٤ أفسد ، أهدم ، أخرب
διαφέρω, ٨٣ (مع المضاف) أختلف عن
διδασκαλεῖον, τό, ٧٩ مدرسة
διδάσκαλος, ὁ, ٦٢ معلم ، مدرس
διδάσκω, ١٧٢ أعلم (يتعدى لمفعولين)
διδάσκω, ١٣٠ أعرض (رواية)
δίδωμι, ٢٣٣ أعطي
διεκπλέω, ٦٢ أبحر خلال

διέρχομαι, ٢٧٨ أجتاز
δίκαιος, α, ον, ٤٢ عادل
δικαστήριον, τό, ٦٩ محكمة
δίκη, ἡ, ١٧ عدل ، قسطاس
δίκην δίδωμι, ٢٤٠ أعاقَب
δίκτυον, τό, ٥٣ شبكة
διοικέω, ٢٦٤ أدبر ، أدرب
διομολογέομαι, ٢٩٧ أوافق
διομολογέω, ٢٩٧ أعقد اتفاقا
διπλάσιος, α, ον, ٢٦٦ مزدوج، مضاعف
δίπους, ουν, ١٨٠ ذو رجلين
δίς, ١٦٠ مرتان
διφρευτής, ὁ, ٢٩٧ مركب ، عجلة
διψάω, ١٠٧ أعطش
διώκω, ٢١٤ أتبع ، أتعقب
δοκέω, ٦٣ أبدو ، أظن
δόξα, ἡ, ١٦ عقيدة ، رأي ، شهرة
δόρυ, -ατος τό, ١٤٦ رمح ، حربة
δούλειον ἦμαρ, ٢٩٥ يوم العبودية
δούλειος, α, ον, ٢٩٥ استعبادي، ذليل
δοῦλος, ὁ, ٢٨ عبد
δουλόω, ١٣٢ أستعبد

δραχμή, ἡ, ١٢٩ دراخما
δράω, ١٠٧ أعمل ، أفعل
δρομαῖος, α, ον, ٢٥٨ عاجل، مُسرع
δρόμος, ὁ, ٢١٦ سباق ، جهاد ، هرب
δρόσος, ἡ, ١٩٧ نَدَى
δύναμαι, ٩٨ أقدر ، أستطيع
δύναμις -εως, ἡ, ١٣٣ قوة
δυνατοί, οἱ, ٢٨٩ أشراف
δύο, ١٦٠ إثنان
δυσμενής, ες, ٢١٤ خَصْم
δυσπολέμητος,ον, ٢٩٠ متعذر الحرب (مع)
δώδεκα, ١٦١ إثنا عشر
δῶρον, τό, ٣٤ هدية

E

ἐάν (ἤν, ἄν), ٢٦٠ إن
ἔαρ, τό, ١٤٧ الربيع
ἐάω, ٢٧٢ أسمح ، أجيز
ἑβδομήκοντα, ١٦١ سبعون
ἕβδομος, η, ον, ١٦٠ السابع
ἐγγράφω, ٢٨٦ أدون ، أسجل ، أكتب
ἔγκειμαι, ٢٩٥ ألازم ، أوقف على
ἐγκλίνομαι ٢٩١ أذعن ، أستسلم ، أهرب
ἐγκοιλαίνω, ٢٩٣ أجوف ، أفرغ
ἔγχιλυς, ὁ, ١٣٣ سمك الثعبان
ἐγώ, ٥٥ أنا
ἔγωγε, ٥٦ أنا شخصياً
ἐθέλω, ١١ أرغب ، أريد
ἔθνος, -ους, τό, ٢٩٠ شعب
εἰ, ٧١ ، ٢٥٩ إذا ، لو ، إن
εἰ... ἤ, ٢٧٩ الهمزة ، أم
εἰ μὴ ὅσον, ٢٩٣ ماعدا فقط
εἰ γάρ, (مع الصيغة الرجائية) ٢٢٧ ليت ، لعل
εἴην, ٢٢٤ (الصيغة الرجائية لفعل الكون)
εἴθε, (مع الصيغة الرجائية) ٢٢٧ ليت ، لعل
εἰκάζω, ٣٣ أشبه ، أمثل
εἰκῇ, (ظرف) ٢٤٢ بتهور ، بغير روية
εἰκών,-όνος, ἡ, ١٢٢ صورة ، تمثال
εἶμι, ٢٣٢ ، ٢٧٨ سأذهب
εἰμί, ٣٠ أكون
εἶναι, ٣٠ (المصدر من فعل الكون)
εἰρήνη, ἡ, ٩٩ سِلْم
εἰρήνην ἄγω, ١٥١ أطمئن ، أرتاح
εἷς, μία, ἕν, ١٦٠ واحد
εἰς (ἐς), (مع المفع) ١٨ إلى (داخل)

εἰσβάλλω εἰς, ١٦٧ (مع المفع.) أغزو، أجتاح
εἰσβάλλω, ٦٢ ألقى
εἰσέρχομαι, ٢٧٨ أدخل
εἰσί (ν), ١٨ يكونون
εἰσπίπτω, ٢٩٥ أقع في، اندفع، اقتحم
εἰσφέρω, ٢٢٣ أدخل، أحمل إلى
εἴτε... εἴτε, ٢٧٩ الهمزة ... أم
ἐκ, (ἐξ), ١٨ (مع المضا.) من، خارج من
ἕκαστος, η, ον, ٨٦ كل واحد
ἐκβάλλω, ٦٢ أطرد
ἐκεῖ, (ظرف) ٢٩٤ هناك
ἐκεῖθεν, (ظرف) ١٧٦ من هناك، من هنا
ἐκεῖνος, η, ον, ٧٢ ذاك
ἐκλέγομαι, ٢٩٧ أختار
ἐκλέγω, ٢٩٧ أقطف
ἐκλέπω, ١٩٧ أفرّخ
ἐκπέμπω, ٢٩٣ أرسل، أخرج
ἔκπωμα, -ατος, τό ٢٠٨ قدح، كأس
ἐκτείνω, ٢٩٥ أصل إلى، أرسل إلى، أمد
ἕκτος, η, ον, ١٦٠ السادس
ἐκτός, (ظرف) ٢٤٢ ماعدا، خارج
ἐκτρίβω, ٢٩٢ أمحو، أحك

ἑκών, -οῦσα, -όν, ٢٩٦ اختيارى، راض ميال، متعمد
ἐλάα, ἡ, ٤٤ شجرة الزيتون
ἐλαύνω, ٣٣ أسوق
ἐλευθερία, ἡ, ١٥١ حرية
ἐλεύθερος, α, ον, ٤٧ حر، طليق
ἐλευθερόω, ١٣٢ أحرّر، أعتق
ἐλέφας, -αντος, ὁ, ١١٢ فيل
Ἑλλάς, -άδος, ἡ, ١١٢ بلاد اليونان
ἐλλείπω, ٥ أترك، أحذف
Ἕλλην, ηνος, ὁ, ١٢٣ إغريق
Ἑλληνοταμίαι, οἱ, الخزائن اليونانية وكلاء الخراج
ἐλπίζω, ٢٧٠ أرجو، أتمنى
ἐλπίς, -ίδος, ἡ, ١١١ الأمل
ἐμβαίνω, ٢٩٥ أركب البحر، أنزل إلى السفينة
ἐμβάλλω, ٦٢ أسقط، أقدم، أضع
ἐμμένω, ٢٨٠ أحافظ على، أنجز (مع القا.)
ἐμός, ή, όν, ٦٥ (صفة الملكية للمتكلم)
ἐμπίμπλημι, ٢٢١ أملأ، أوعز إلى، أنفخ في
ἐμπίπτω, ٢٦٦، ٥ أقع على، أسقط، أهجم على
ἐμπλαττω, ألصق، أسبك
ἐμπορία, ἡ, ٢١٤ تجارة

ἐμφύομαι, ٢٩٥ أعلو ، أتمسك ب
ἕν, ١٦٠ واحد
ἐν, (مع القا.) ١٨ فى ، على ، بين ، وسط
ἐνάκις, ١٦٠ تسعة مرات
ἐναντίον, τό, ٢٩١ معارض ، ضد
ἐναντίος, ὁ, ١٣٨ منافس،خصم،مزاحم
ἐναντίος,α,ον ٧٧ مخالف،وجهالوجه.ضد
ἔνατος, η ον, ١٦٠ التاسع
ἔνδεια, ἡ, ٢٤٠ إحتياج ، عوز
ἕνδεκα, ١٦١ إحدى عشر
ἐνδίδωμι, ٢٤٠ أستسلم ، أذعن
ἔνδοξος, ον, ٢٩٧ مُكرَّم ، مُمجَّد
ἔνειμι, ٣٢ أكون فى ، أكون بين
ἕνεκα, (ἕνεκευ), إكراماً لـ ... ١٥٢ لأجل،بسبب(مع المضا.)
ἔνθα, (ظرف) ٢٠٨ هناك
ἐνθάδε, (ظرف) ٩٩ هنا
ἐνθένδε, (ظرف) ٢٦٨ من هنا
ἐνιαυτός, ὁ, ٥٥ سنة
ἔνιοι, αι, α, ٢٩٨ بعض
ἐννέα, ١٦٠ تسعة
ἐννοέω, ٢٩٢ أتأمل ، أتدبر
ἐν ὅσῳ, ٢٣٨ بينما

ἐντέλλομαι, ٢٢٠ آمر ، أطلب
ἐντεῦθεν, (ظرف) ٤٤ فيما بعد،بعد ذلك
ἐντίθημι, ٢٩٣ أعرض، أقدم، أدخل
ἐν τῇ εὐρυχωρίᾳ, ١٧٦ فى عرض البحر
ἐν τούτῳ, ٧٧ فى الوقت نفسه
ἐν ᾧ, ٢٣٨ بينما
ἕξ, ١٦٠ ستة
ἐξαιρέω, ٢٨٧ أطرد ، أعزل
ἐξαίφνης, (ظرف) على غرة ، فجأة
ἑξάκις, ١٦٠ ست مرات
ἐξαπατάω, ٢٨٧ أغش ، أخدع
ἐξελαύνω, ٢٠٥ أطرد ، أُخرجُ
ἐξέρχομαι, ٢٧٨ أخرج
ἔξεστι, ٦٩ يمكن ، يكون فى إمكان
ἐξοτρύνω, ٢٨٩ أثير ، أحرك
ἐξ οὗ, ٢٣٨ منذ ، منذ ذلك العهد
ἔξω, (ظرف) ١٧٦ ، ١٩٣ خارج
ἔοικα, ٢٩٢ أشبه
ἔοικε, (فعل لاشخصى) يخيل ؟ يظهر
ἑορτή, ἡ, ٨٣ عيد ، إحتفال
ἐπαινέω, ١١٩ أمدح
ἔπαινος, ὁ, ٤٢ مدحٌ

ἐπακολουθέω, ٢٩٢ ألاحق ، أقتفي أثر أحذو حذو

ἐπανέρχομαι, ٢٧٨ أرجع ، أعود

ἐπάρατος, όν, ١٣٨ مغضوب عليه

ἐπεί, متى ، لمّا ، عندما ، حينما ، بعدما ٢٣٨ عندما ، منذ ، بما أن ١٨

ἐπείγω, ٢٠٨ أحث

ἐπειδάν, ٢٣٩ عندما ، كلمّا

ἐπειδή, ٢٣٨ متى ، لمّا ، عندما ، حينما ، بعدما

ἔπειμι, ٢٨٨ أتقدم

ἐπεὶ τάχιστα, ٢٣٨ حالما

ἐπέρχομαι, ٢٧٨ أهاجم ، أقتحم

ἐπέχω, ٢٩٣ أنتظر

ἐπί, بالقرب من ، على ، بجوار ، في قدرة ٦١ (مع القا.)
ضد ، فوق ٦١ (مع المفع.)
على ، فوق ٦١ (مع المضا.)

ἐπιβάτης, ὁ, ٢٠٨ بحار (من القوة البحرية)

ἐπιβουλεύω, (مع القا.) ١٥١ أتآمر ضد ، أكيد لـ

ἐπιγράφω, ٢٨٠ أدوّن ، أكتب ، أنقش

ἐπιζήμιος, όν, ٢٩٧ مؤلم ، ضار

ἐπιθυμέω, (مع المضا.) ١١٨ أرغب

ἐπικαλέω, ٢٦٦ أستنجد ، أستغيث بـ

ἐπὶ κέρως, ٢٠٨ في الطابور

ἐπιλανθάνομαι, (مع المضا.) ٢٨٢ أنسى

ἐπιμελέομαι, أهتم ، أعتني بـ ٢٢٠ (مع المضا) أحفظ ، أحترز

ἐπιούσιος, ον, ٢٢٣ كاف

ἐπιπλέω, ١٢٧ أبحر ضد ، أهاجم بحراً

ἐπίσταμαι, (مع المصدر) ٩٩ أعرف

ἐπιστήμων, ον, ١٧٧ علمي ، فني

ἐπιστολή, ἡ, ١٧ خطاب ، رسالة

ἐπιτάττω, ١٧٦ أفرض ضريبة ، آمر

ἐπιτείχισμα, -ατος, τό, ٢٩٠ حصن

ἐπιτήδεια, τά, ١٥٧ مؤن ، ضروريات الحياة

ἐπιτήδειος, ὁ, ٢٦٨ صديق ، قريب

ἐπιτίθεμαι, ٢٦٤ أطمح إلى ، أقصد

ἐπιτίθημι, ٢٤٧ أبسط على ، أضع فوق

ἐπὶ τοῖσδε, ٧٧ وفقاً للشروط الآتية

ἐπιτρέπω, ٢٩٦ أستودع ، أعهد إلى

ἐπιφοιτάω, ٢٩٣ أزور

ἐπιχειρέω, ٢٩٩ أحاول ، أسعى

ἐπ' οἴκου, ١٧٦ نحو الوطن

ἐποικτείρω, ٢١٤ أشفق على

ἕπομαι, (مع القا.) ٩٩ أتبع ، أصاحب

ἔπος, -ους, τό, (τοὔπος) كلمة ، أغنية

ἑπτά, ١٦٠ سبعة

ἑπτάκις, (ظرف) ١٦٠ سبع مرات

ἐργάζομαι, ٢١٤ أعمل ، أنجز

ἐργάτης, ὁ, ٢٩٧	عامل
ἔργον, τὸ, ٢٩	عمل ، شغل
ἔρδω, ٤٢	أعمل
Ἐρετριεύς, -έως, ὁ, ٢٩٦	من أريتريا
ἔρημος, η, ον,	مقفر، منعزل، مفتقر الى ٥١ (كاسم: صحراء)
ἔρις, -ιδος, ἡ, ١١١	كفاح، جهاد، نزاع
Ἑρμίδιον, τὸ, ١٩٤	تمثال صغير لهرميس
ἔρομαι, ٢٩٤	أسأل
ἐρρωμένως, (ظرف)	بعنف ، بقوة
ἐρυθρός, ά, όν, ٢٩٣	أحمر
ἔρχομαι, ٢٧٧	أذهب ، آتى
ἔρως, -ωτος, ὁ, ٢٨٩	الحب
ἐρωτάω, ٢٢٠	أسأل
ἐσαγγέλλω, ٢٨٨	أُبلغ، أقرر، أكتب تقريراً
ἐσθίω, ١٩٧	آكل
ἔσκειμαι, ٢٠٨	أوضع فى سفينة
ἔσομαι, ٣١	سأكون
ἑσπέρα, ἡ, ٨١	المساء
ἔστε, ٢٣٨	حتى
ἐστι (ν), ١٨	يكون
ἑστία, ἡ, ٢٩٧	موقد ، مأوى ، منزل
ἐστίθημι, ٢٩٣	أعرض ، أقدِّم

ἔσχατος, η, ον, ٤٠	الأخير
ἔσω, (ظرف) ١٩٣	من ، داخل
ἑταῖρος, ὁ, ٩١	رفيق ، صاحب
ἕτερος, α, ον,	الواحد (من اثنين) الآخر ، الثانى ٢٩٢
ἔτι καὶ νῦν, ١٥٢	حتى الآن
ἕτοιμος, η, ον, ٢٧٠	مستعد
ἑτοίμως, (ظرف)	باستعداد ، بسرعة
ἔτος, -ους, τὸ, ١٢٤	سَنَة
εὖ, (ظرف) ٦ ، ١٩٢	جيداً
εὐγενής, ές, ١٧٨	كريم الأصل ، نبيل
εὐδαιμονέω, ٢٤٠	أكون سعيداً
εὐδαίμων, ον, ١٧٧	سعيد
εὐδοξία, ἡ, ٢٨٩	سمعة طيبة
εὔελπις, -ι, ١٨٠	واثق ، أمين
εὔελπις, -ιδος, ὁ, ἡ, ١١١	كثير الرجاء، آمل
εὐήθης, ες, ١٧٨	غبى ، أحمق
εὐθύς, ٢١٠	على الفور ، فى الحال ، فى التو
εὐλαβοῦμαι, ٢٨٤	أحذر ، أحترس
εὔλογος, ον, ٣٨	معقول
εὐμενής, ές, ١٧٨	لطيف ، ظريف
εὐμενῶς, (ظرف)	بلطف
εὔνους, -ουν, ٢٠٨	لطيف

εὐπατρίδης, ὁ, ٨٦ شريف ، نبيل

εὕρημα,-ατος, τό, ٢٤٢ إكتشاف،اختراع

εὑρίσκομαι, ٩٦ أحصل ، أجد لنفسى

εὑρίσκω, ٣٣ أجد

εὐρύς, εῖα, ύ, ١٨٦ عريض ، فسيح

εὐρυχωρία, ἡ, ١٧٦ سعة

Εὐρώπη, ἡ, ٣ أوروبا

εὐσέβεια, ἡ, ٤٤ التقوى

εὐσεβής, ές, ١٨١ تقى

εὐτρεπίζω, ٢٩٥ أستعد ، أتهيأ ، أعد

εὐτροφία, ἡ, ١٨٣ صحة جيدة

εὐτυχής, ές, ١٧٨ سعيد ، محظوظ

εὔχαρις,-ιτος, ١٧٩ حلو الشمائل ، ظريف،لطيف

εὐχή, ἡ, ٢٠٨ نذر ، توسل ، صلاة

ἐφ' ᾧ, ١٥٥ بشرط ، على شرط

ἐφ'ᾧτε, ١٥٥ بشرط ، على شرط

ἐχθρός, ά, όν, ١١٦ بغيض ، مقوت

ἐχθρῶς ἔχω, (مع القا.) ١٧٣ أكره،أعادى

ἐχυρός, ά, όν, ٢٨٩ قوى،منيع،حصين

ἔχω (εἶχον الماضى المتصل) ١٨ أملك

ἔχων, ٢٠٩ (مع اسم الفاعل) واو المعية ، مع

ἕως, ٢٣٨ مادام ، طالما ، حتى

ἕως ἄν, طالما

ἕως, ἡ, ٣٠ ، ١٤٨ الفجر ، الشرق

Z

ζημία, ἡ, ١٧٣ عقاب ١١٣ خسارة

ζημιόω, ٣٤ أعاقب

ζητέω, ١١٨ أبحث

ζυγόν, τό, ٣٥ نير

ζῶ, (ζάω), ١٠٧ أعيش

H

ἡγεμονεύω, (مع المضا.) أقود ، آمر

ἡγεμονία, ἡ, ٢٩٤ سيادة الدولة، ملك، قيادة ، زعامة.

ἡγεμών, -όνος,ὁ, ١٢٩ قائد ، زعيم

ἡγέομαι, ٢٩٢ أظن،أحسب، أقود

ἤδη, ١٨ فى الحال ، الآن ، من قبل

ἥδομαι, ٢١١ أبتهج ، أفرح

ἡδύνω, ١٥٤ أحلى ، أنمق

ἡδύς, εῖα, ύ, ١٨٦ حلو ، لذيذ

ἠέλιος, (ἥλιος), ὁ, ٢٩٨ شمس

ἥκω, (ἥξω المستقبل) ٦٣ أحضر ، آتى

ἥλιος, ὁ, ٥٣ شمس

ἦμαρ, -ατος, τὸ (ἡμέρα) ٢٩٥ يوم
ἡμεῖς, ٥٥ نحن
ἡμέρα, ἡ, ١٥ يوم
ἦ μήν, حقاً
ἥμισυ, τὸ, ٢٩٥ نصف
ἥμισυς, εια, υ, ٢٩٥ نصف
ἡνίκα, ٢٣٨ متى ، لمّا ، عندما ، حينما
ἧπαρ, -ατος, τὸ, ١٤٩ كبد
ἤπειρος, ἡ, ٨٦ اليابسة
ἡσυχάζω, ١٥٧ ألزم الهدوء
ἡσυχία, ἡ, هدوء ، سكون
ἡσυχίαν ἔχω, أسكن ، أهدأ
ἥσυχος, η, ον, ٤٧ هادئ ، ساكن
ἠχώ, ἡ, صدى
ἢ ὥστε, (ظرف) ١٥٦ بكثير

Θ

θάλαττα, ἡ, ١٨ بحر
θάνατος, ὁ, ٦٣ الموت
θάπτω, ١٤٠ أدفن
θαρραλέος, ον, ١٨٣ جرئ
θαρρέω, ٢٩٤ أعو
θάρσος, τὸ, ١٨٣ جرأة

θαυμάζω, ٢٥ أتعجب ، أعجب بـ ، أستحسن
θαυμάσιος, α, ον, ٢٩٢ غريب ، عجيب
θεά, ἡ, ١٥ ربة ، إلاهة
θεάομαι, ١٠٦ أحملق إلى
θεῖον, τὸ, ٢٨٢ قداسة ، طهارة
θέλημα, -ατος, τὸ, ٢٢٣ مشيئة ، إرادة
θεός, ὁ, ٢٨ إله ، رب
θεράπαινα, ἡ, ١٦ جارية ، أمة
θεραπεύω, ٢٥ أخدم ، أعبد ، أعالج
θερμός, ή, όν, ١٩٧ حار
θέρος, -ους, τὸ, ١٣٥ حرارة ، الصيف
Θετταλός, ὁ, ٢٥٨ ثيسالى
θήρ, ὁ; ١٢٣ حيوان مفترس ، وحش
θηράω, ١٠٧ أصيد
θηρεύω, ٤٤ أتبع ، أقتفي أثر ، أقتنص
θηρίον, τὸ, ١٨١ حيوان
θνητός, ή, όν, ٢٩٨ أنسان ، بشر
θορυβέω, ٢٩٠ أعترض ، أقاطع الكلام
Θρᾷξ, -ᾳκός, ὁ, ١٧٣ تراقى
θρῆνος, ὁ, ٢٩٥ عويل ، نواح
θρίξ, (τριχός), ἡ, ١٤٧ شعر
θροέω, ٢٩٧ أتكلم ، أقول ، أصيح

θυγάτηρ, -ατρός, ἡ, ١٢٦ ابنة

θυμός, ὁ, روح ٦٩ ، غضب ١٨٣

θύρα, ἡ, ١٥ باب

θύω, ١١ أضحى ، أقدم القرابين

I

ἰατρός, ὁ, ٦٩ طبيب

ἴδιος, α, ον, ٢٩٤ خاص ، شخصى

ἱδρόω, ٢٨٧ أكد ، أتعب

ἱερεύς, ὁ, ١٣٤ كاهن

ἱερόν, τό, ١٥١ معبد

ἱερός, ά, όν, ٢٩٣ مقدس

ἵημι, ٢٥٢ أرسل

ἱκανός, ή, όν, ١٢٥ كاف ، واف ، نادر

ἱκετεύω, ٣٢ أتوسل ، أتضرع

ἱμάτιον, τό, ١٦٥ عباءة ، ملبس

ἱμερτός, ή, όν, ٢٩٤ جميل ، بهى

ἵνα, ٢٢٧ كى ، لام التعليل

ἱππαγωγός, όν, ٢٩٥ نقل الخيل

ἵππαρχος, ὁ, ٢٥٨ قائد الفرسان

ἱππεύς, -έως, ὁ, ١٣٤ فارس

ἱππεύω, ١١ أمتطى الجواد

ἱππική, ἡ, ٢٥٨ ركوب

ἱππικόν, τό, ٢٥٨ فرسان ، خيالة

ἵππος, ὁ, ٢٨ جواد ، حصان

ἵππος, ἡ, ٢٩ فرسان

ἴσθι, (οἶδα, εἰμί الأمر من) كن ، إعرف

ἴσος, η, ον, ٥٢ مساو ، مماثل

ἵστημι, ٢٢٢ أقف

ἰσχυρός, ά, όν, ١١٢ قوى

ἰσχύω, ٤٤ أكون قادراً ، أكون ذا سلطة

ἰχθύς, ὁ, ἡ, ١٧٣ سمك

ἴχνος, -ους, τό, ٢١٤ خطوة ، أثر

Ἴων, -ωνος, ὁ, ١٢٣ أيونى ، من أيونيا

K

καθαιρέω, ١٥٤ أهدم ، أخرب

καθεύδω, ٢١٤ أنام

καθ' ἡμέραν, ٦٩ يومياً

καθίστημι, ٢٥٢ أشيد ، أنصب ، أرتب

καθοράω, ٢٩٨ أزدرى

καί, ١١ واو (العطف) ، حتى ، أيضاً

καὶ γὰρ δή, ٢٩٣ لأنه فى الحقيقة

καινός, ή, όν, ٢٩٢ جديد

καίπερ, ٢١٠ مع أن ، ولو

καίω, ٦٣ أحرق ، أضرم النار

κακία, ἡ, ٤١ شر ، جبن ، نذالة

κακοδαίμων, -ον, ١٧٧ منكود، سيء الحظ

κακός, ή, όν, ٤٢ شرير ، ردىء ، جبان

κακότης, -ητος, ἡ, ١١٢ دناءة ، سفالة

κακοῦργος, ὁ, ٨٣ فاعل الشر، أثيم ، شرير

καλάμη, ἡ, ١١٦ غاب، قصبة، ساق النبات

καλέω, ١١٩ أنادى ، أسمى

καλόν, τό, ٤٠ الجمال

καλός, ή, όν, ٣٨ جميل ، لطيف

κάλυξ, -υκος, ἡ, ١١٦ سنبلة

καλῶς (ظرف) ٤٠ بطريقة جميلة ، بجمال

καλῶς ἔχω, ١٩٣ أكون بخير

κατά, (مع المضا.) ضد ، تحت ٦٠ / (مع المفع.) وفقاً لِـ ٦٠

καταβαίνω, ٢٨٠ أنزل

καταγελάω, ١٠٧ أهزأ من

κατάγω, ١٥٢ أعيد ، أرجع

καταλαμβάνω, ١٧٣ ألحق ، أستلم

καταμένω, ٢٥٨ أمكث ، أظل

καταπαύω, ٦٢ أمنع

κατασιωπάω, ٢٦٤ أسكت ، أصمت

κατασκευάζω, ١٧٦ أؤسس

κατασκευή, ἡ, ٢٨٩ مهمات

κατατίθημι, ٢٤٧ أكبح ، أقمع ، أدون

κατὰ τάχος, ١٧٦ بأقصى سرعة ممكنة

καταφεύγω, ٢٠٣ أعتصم بـِ، ألجأ إلى

καταφρονέω, ٢٢٠ أحتقر

κατέρχομαι, ٢٩٠ أرجع ، أعود

κατέχω, ١٧٣ أكبح، أردع، أقبض على، أستولى على

κατήγορος, ὁ, ٢٩٧ متهم ، مدَّعٍ ، خائن

κατοικέω, ١١٨ أقطن ، أسكن

κάτω, (ظرف) ٢٩٥ تحت، أسفل (الدار الآخرة)

κεῖμαι, أرقد

κελεύω, ١١ آمر

κενός, ή, όν, ١١٣ فارغ ، خال

κεράννυμι, ٢٠٨ أخلط

κέρδος, -ους, τό, ١٢٧ ربح، فائدة، مكسب

κεφαλή, ἡ, ٢٨٧ رأس

κῆπος, ὁ, ٢٨ حديقة

κῆρυξ, -υκος, ὁ, ١١٠ منادٍ

κηρύττω, ١٣٩ أعلن ، أنادى

κινδυνεύω, ١٥١ أخاطر ، أجازف

κίνδυνος, ὁ, ٥٥ خطر

κινέω, ١١٨ أتحرك

κλεινός, ή, όν, ٢٩٧ شهير
κλείω, ١٨ أغلق
κλέος, -ους, ١٢٤ مجد، عظمة
κλέπτης, ό, ٢١ لص
κλέπτω, ٢٢٠ أسرق
κλῖμαξ,-ακος, ή, ٢٨٠ سُلَّم
κλίνη, ή, ٢٩٢ مضجع، سرير
κλώψ,-πος, ό, ١١٠ لص
κνέφας, τό, ١٤٧ ظلام، كآبة
κοιλαίνω, ٢٩٣ أفرغ، أجوف
κοινά, τά, ٢٦٤ الصالح العام، الجمهورية
κοινόν, τό, ٢٨٩ حكومة، ولاية
κοινός, ή, όν, عام، مشترك
κολάζω, ١٤١ أعاقب
κόλαξ,-ακος, ό, ٢٨٠ منافق، متملق
κόλπος, ό, ١٧٦ خليج
κομίζομαι, (مبنى للمتوسط) ٩٧ أنقل حاجياتى
κομίζω, ٩٦ أنقل
κόπτομαι, (مبنى للمتوسط) ٩٦ أضرب نفسي. ألطم
κόπτω, ٩٦ أضرب
κόρη, ή, ١٨ فتـــاة
κορυφή, ή, ٢٩٢ قمة، أصل، رأس

κοσμέω, ٢٨٨ أجهز، أرتب
κόσμος, ό, ٢٩٤ عالم، زخرف، زينة
κρατερός, ά, όν, ٢٩١ قوى
κρατέω, ٢٩١ (مع المضا.) أتسلط على. أسود على
κρατήρ,-ῆρος, ό, ٢٠٨ وعاء المزج
κράτος,-ους, τό, ١٢٤ نبوغ، تفوق
κραυγή, ή, ٢٨٢ صياح، صراخ
κρέας,-έως, τό, ١٢٥ لحم
κρήνη, ή, ٢٩٧ ينبوع
κρίνω, ١٥٣ أقضى، أحكم
κριτής, ό, ٢٥ قاضى
κροκόδειλος, ό, ١٩٧ تمساح
κρούω, ٦٩ أدق، أقرع، أضرب
κρύπτω, (يتعدى لمفعولين) ١٤٠ أخفى
κρύφα, (ظرف) ٢٩٦ (مع المضا.) خفية، من غير علم
κτάομαι, ١٥٧ أحصل على، أكتسب، أظفر: أملك
κτίζω, ٨٦ أنشىء، أؤسس، أشيد، أبنى
κυβεύω, ٢٩٧ أجازف، أقامر
κύκλος, ό, ٢٩٠ دائرة، حلقة
κύκλῳ, (ظرف) ٢٩٠ بدائرة
κυνίδιον, τό, ١٩٤ كليب

Κυρηναῖος, α, ον, ١٧٣ كورينائي

Κυμαῖος, ὁ, ٢٦٦ من أهل كيمي

κύων, ὁ, ἡ, ١٤٦ كلب

κωλύω, ١١ أمنع، أصد، أعوق

κώμη, ἡ, ١٧ قرية

Λ

λαγώς, ὁ, ٣٠ أرنب

Λακεδαιμόνιοι, οἱ, ٨٩ الأسبرطيون

λαλέω, ٨٣ أثرثر

λαμβάνω, ١٧١ آخذ

λαμπάς, -άδος, ἡ ١١٢ شعلة، مصباح

λαμπρός, ά, όν, ٥٣ براق، ساطع، شهير

λαμπρότης, -ητος, ἡ, ١١٣ ضياء، لمعان

λανθάνω, ٢١٣ غفل عن

λαός, ὁ, (λεώς), شعب

λέγω, ٢٦٩ ، ٨١ أقول

λειμών, -ῶνος, ὁ, ١٢٣ روضة

λείπω, ١٧١ أترك

λεώς, ὁ, ٣٠ الشعب

λήγω, ٢١١ أقطع، أقلع

λίθος, ὁ, ٢٨٧ حجر

λιμναῖος, α, ον, ١٩٧ حي في البحر

λιμήν, -ένος, ὁ, ١٢٠ ميناء، مأوى

λογίζομαι, ٢٩٠ أعتبر، أعد

λόγος, ὁ, ٤٢ كلمة، حديث

τῷ δὲ λόγῳ, ٢٩٦ مدعياً، محتجاً

λοιπόν, τὸ, (كظرف) ٢٩٦ المستقبل

λούομαι, ٩٦ أغسل نفسي، أستحم

λούω, ٩٦ أغسل

λύκος, ὁ, ٢٨ ذئب

λύομαι, (مع المفع.) ٩٧ أفتدي

λύομαι, ٨٧ أُفكّ

λύπη, ἡ, ١٧ ألم، حزن

λυπηρόν, τὸ, ٢٩٢ ألم

λυπηρός, ά, όν, ٢٩٢ مؤلم، محزن

λυπῶ, (-έω) ١٣٠ أحزن، أتكدّر

λυσιτελεῖ μοι, ١٧٣ من المربح لي

λύω, ٩ أفك، أطلق سراح، أعتق

M

μαθητής, ὁ, ٢١ تلميذ

μάκαρ, -αρος, ὁ, ٢٩٨ سعيد

μακρός, ά, όν, ٣٨ طويل

μάλα, (ظرف) ٥٤ بارتفاع، بسمو، بدرجة كبيرة، بدرجة فائقة

μάλιστα, (ظرف) ٤٤ غالباً ، خاصةً
μᾶλλον, (ظرف) ١٥٩ أكثر
μᾶλλον ἤ, (ظرف) ١٥٢ أكثر من
μανθάνω, ٧٩ أتعلم ، أعلم ، أعرف
μανία, ἡ, ١٨٣ جنون ، طيش
μαντεῖον, τό, ٧١ وحي ، التكهن بالغيب
μαντεύομαι, ٢٩٠ أتكهن ، أتنبأ ب
μάντις, ἡ, ὁ, ١٢٣ نبيّ
Μαραθῶνι, ١٥٦ في مارثون
μαρτυρέω, أشهد على
μαρτυρία, ἡ, ٢٢٠ شهادة ، إعتراف
μαρτύριον, τό, ٢٩٧ دليل ، برهان ، شاهد
μάρτυς, -υρος, ὁ, ἡ, ١٤٩ شاهد ، شهادة
μάτην, (ظرف) ١٥٢ عبثاً ، باطلاً
μάχη, ἡ, ١٨ قتال ، معركة ، ميدان القتال
μάχομαι, (مع القا.) ٩٩ أقاتل ، أحارب
μέγα, (ظرف) ٤٥ بدرجة كبيرة ، بدرجة عظيمة بدرجة فائقة
μέγα λέγω, ٢٩٠ أفاخر ، أتباهى
μεγαλήγορος, ον, ١٨١ مبالغ
μεγαλοπρεπής, -ές, ٢٣١ فاخر ، نفيس ، عظيم

μεγάλως, (ظرف) ٤٥ بدرجة كبيرة ، بدرجة عظيمة
μέγας, ٤٤ عظيم ، كبير ، ضخم
μέγαθος, -ους, τό, ٢٩٣ عَظَمة ، عِظم
μέγιστος, η, ον, ١٢٥ الأعظم ، الأكبر
μεθίημι, ٢٥٦ أغفر ، أطلق سراح
μεθίστημι, ٢٥٢ أغيّر ، أبدّل
μέλας, αινα, αν, ١٨٦ أسود
μέλι, -ιτος, τό, ٢٤٠ عَسَل
μέλλον, τό, ٢٨٩ المستقبل
μέλλω, ١٥٩ أعزم على ، أصمّم على
μένος, -εος, τό, ١٢٤ قوة ، مقدرة
μὲν οὖν, ١٠٢ وعلى ذلك
μέντοι, (ظرف) ١٣٨ مهما كان ، ومع ذلك
μένω, ٤٧ أنتظر ، أمكث
μέρος, -ους, τό, ١٢٤ جزء ، نصيب
μέσος, η, ον, ٤٠ وسط
Μεσσήνιος, ὁ, ٩٤ مسينيّ
μετά, { مع (بمصاحبة) ٢٦ ، ٦٠ (مع المضا.) — بعد ٦٠ (مع المفع.) }
μεταδίδωμι, (مع المضا.) ٢٣٧ أعطي نصيباً من

μεταξύ, ٢١٠ في وسط ، أثناء
μετὰ ταῦτα, ٧٧ بعد ذلك
μετ' ἐμοῦ ٥٦ معي
μετατίθημι, ٢٤٧ أبدّل أغيّر
μέχρι, ٢٣٨ حتى
Μηδικός, ή, όν, ٢٨٩ فارسى
μήν, -ος, ὁ, ١٢٣ شهر
μήπω, (ظرف) ٢٤٢ لم . . . بعد
μήτε... μήτε, ١١ لا . . . ولا
μήτηρ, -τρός, ἡ, ١٢٦ أم ، والدة
μηχανάομαι, ٢٨٤ أُدبر
μία, (للمؤنث) ١٦٠ واحد
